141 198/341. 561 X 198 N, 129

# ΕΓΚΩΜΙΑ ΝΕΟΦΑΝΗ,

ΗΤΟΙ

## ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΙΕΡΟΣ

Εἰς τὴν πανσέβαστόν τε καὶ παναγίαν μετάστασιν τῆς ὑπερευλογημένης καὶ πανενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου

# ΜΑΡΙΑΣ,

Ψαλλομένη τὴν ΙΕ΄. Αὐγούστου ἢ καὶ πρὸ αὐτῆς, ὡς ψάλλεται ὁ Ἐπιτάφιος τοῦ Μεγάλου Σαββάτου.

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ.

Ἐν ᾗ προσετέθησαν 24 οἶκοι ἐπὶ τῇ κοιμήσει τῆς Θεοτόκου, καὶ λόγος πανηγυρικὸς τοῦ Γερμανοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*ΕΝ ΠΑΤΡΑΙΣ*

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΚΑΙ ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ

Ε. Π. ΧΡΙΣΤΟΔΟΥΛΟΥ.

1871.




Ἐγκώμια, ἤτοι ἀκολουθία ἱερά, εἰς τὴν Πανάγιαν μετάστασιν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ψαλλομένη τῇ ιέ. Αὐγούστου, ἢ τῇ πρὸ αὐτῆς τοῦ αὐτοῦ. Μετὰ τό, Θεὸς Κύριος, τροπάρια Ἦχος β'.

Ὁ εὐσχήμων μαθητῶν, χορὸς νῦν θεῖος, ὦ σεμνή, τὸ ἄχραντόν σου σῶμα, δακρύοις καθαροῖς, εἱλήσας ὡς ἀρώμασιν, ἐν μνήματι σεπτῷ, κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος μετέστης δέσποινα, δοῦσα παντὶ τῷ Κόσμῳ, τὸ θεῖον ἔλεος.

Δόξα.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ζωῆς μῆτερ ἀθάνατε, τότε ὁ Ἅδης ἐθαύμασε καὶ κατεπλάγη ἐξαίσιον· ὅτε δὲ ὤφθης μεταστᾶσα, εἰς Οὐρανοὺς Μαριάμ, ἐκ τοῦ μνήματος· πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων μετὰ δέους ἐκραύγαζον· ζωηφόρε μήτηρ τῆς ζωῆς ἡμῶν, δόξα σοι.

Καὶ νῦν.

Τοῖς θυηπόλοις μαςηταῖς, Γεθσημανῇ Θεοῦ μητρός, κομίζουσι τὸ σκῆνος, ὁ ὕμνος ἐκφωνῶ, ὑπάρχει ἁρμόδιος, Χριστοῦ μητρὶ ἀληθῶς, τῇ μόνῃ θεόπαιδι· δι' ὃ κραυγάσατε, ἀνάστα ὦ Δέσποινα, παρέχουσα πᾶσι τὸ μέγα ἔλεος.

Εἶτα τὰ εὐλογητάρια, καὶ ἀμέσως τὰ ἑξῆς ἐγκώμια εἰς εἶχον πλάγ. ά.

» Μάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι.

Ἡ ζωὴ ἐν τάφῳ, κατετέθης σεμνὴ, καὶ ἀγγέλων στρατιαὶ κατεπλήττοντο, τὴν μετάστασιν δοξάζουσαι τὴν σήν.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύριά σου.

Ἡ ζωὴ ἐν τάφῳ, καντέθης ἁγνὴ νόμῳ φύσεως, ἀλλ' ὤλεσας θάνατον, μεταστᾶσα, εἰς ἀθάνατον ζωήν.

» Οὐ γὰρ οἱ ἐργαζόμενοι.

Ἡ ζωὴ τοῦ κόσμου, πῶς καὶ τάφῳ οἰκεῖς; πῶς καὶ θάνατον ὑπέστης ἀθάνατε; τὸν ἀθάνατον γεννήσασα Θεόν;



» Σοὶ ἐνετείλω τὰς ἐντολάς σου.

Θεοδόχον σκῆνος, ἐν τῷ τάφῳ νεκρὸν, καθορᾶται, ἀλλὰ ζῇ, τὴν ζωὴν ἡμῖν, νεκρωθεῖσιν ἁμαρτίαις χορηγοῦν.

» Ὄφελον κατευθυνθείησαν.

Θεολόγων θεῖον, δεῦτε στῖφος σεπτῶς, μαθητῶν τε ἀθροισθέντες κηδεύσατε, σῶμα θεῖον τῆς Θεοῦ θείας μητρός.

» Τότε οὐ μὴ αἰσχυνθῶ.

Θεία ὄντως πέλει, πάντα κόρη τὰ σὰ, σύλληψίς τε σὺν γεννήσει ἡ κοίμησις, καὶ μετάθεσις ἐκ γῆς εἰς οὐρανόν.

» Ἐξομολογήσομαί σοι.

Ἰησοῦ μητέρα, φυσικὴν καὶ ἡμῶν, κατὰ χάριν, σὲ γινώσκει ἡ σύμπασα, κτίσις μόνην, καὶ γεραίρει εὐσεβῶς.

» Τὰ δικαιώματά σου φυλάξω.

Ἰησοῦν γλυκύν μοι, καὶ σωτήριον φῶς, ἡ κυήσασα πῶς τάφῳ νῦν κέκρυψαι, Παναγία μου, εἰπὲ παρακαλῶ;

Ἐν τίνι κατορθώσει νεώτερος.

Ἰησοῦν μου τάφος, συγκαλύπτει στενὸς, διαδράναι πῶς ἐγὼ τοῦτο φράσνο μοι, ἐξισχύσω; μὴ ἀπόρει μοι λοιπόν.

» Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτη.

Καὶ ἐν τάφῳ ἔδυς, καὶ μετέστης σεμνὴ, τριημέρως, καὶ παρέστης γηθόσυνος, ὡς βασίλισσα Θεοῦ ἐκ δεξιῶν.

» Ἐν τῇ καρδίᾳ μου ἔκρυψα.

Κἂν ἐνθάπτῃ τάφῳ, κἂν νεκρὰ καθορᾷ, λόγῳ φύσεως θνητῆς ζωοπάροχε, οὐκ εἰς ᾅδου σου τὸ πνεῦμα προσμολεῖ.

» Εὐλογητὸς εἶ Κύριε δίδαξ.

Κάλλει σὺ ἁπάσας, ὑπερῆλθες βροτῶν, κόρας ὥσπερ θεῖον ᾆσμα προέφησε, νῦν δ' ἀνείδεος ὑπάρχεις Μαριάμ.

» Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα.

Λύεις τὴν κατάραν, τὴν τῆς Εὔας νυνὶ, νεκρωθεῖσα, εὐλογίας πρωταίτιε, νέα Εὔα καὶ τεθεῖσα ὑπὸ γῆν.

» Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου.

Λόγος ἐγκωμίων, θείων ὄντως σεμνὴ, λόγου θείου ὦ τροφὲ Θεοείκελε, ἐκθειάζει θεολόγων ὁ ἐσμός.

» Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω.

Λίαν δὲ τὸ σκεῦος, ἐκλογῆς τὸ σεπτὸν, προσπεσὼν τοῖς Παναχράντοις σου ἴχνεσι, δακρυρρόως χαῖρε, Παῦλός σοι βοῶν.

» Ἐν ταῖς δικαιώμασί σου μελετήσω.

Μεγαλύνομέν σε, τὴν Μητέρα Θεοῦ, καὶ τιμῶμεν τὴν ταφήν σου τὴν πάντιμον, τὴν τιμήσασαν τὴν φύσιν τῶν βροτῶν.

» Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με.

Μέτρα ὑπερέβης, καὶ τοὺς ὅρους σεμνὴ, τοὺς τῆς φύσεως καὶ νῦν ἐκ τοῦ μνήματος, μετεστάθης ὑπὲρ φύσιν Μαριάμ.



» Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου.

Μετὰ τοῦ Υἱοῦ σου, βασιλεύεις ἁγνὴ, ὡς τῆς κτίσεως ἁπάσης βασίλισσα, μεταστᾶσα ἀπὸ γῆς εἰς οὐρανούς.

» Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ.

Νοεραί σε τάξεις, ἡπλωμένην νεκρὰν, καθορῶσαι ζωοπάροχε ἔφριττον, καλυπτόμεναι ταῖς πτέρυξι σεπτῶς.

» Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι

Νεκρωθεῖσαν πάλαι, Εὔαν φθόνῳ δεινῶς, ἐπανάγεις πρὸς ζωὴν τῇ νεκρώσει σου, νέα Εὔα κόρη μήτηρ Μαριάμ.

» Ἐπετίμησας ὑπερηφάνοις.

Νεκρωθεῖσα πάντας, σὺ ζωοῖς καὶ ἐν γῇ, τοὺς γηΐνους οὐρανίους ἐποίησας, Παναγία μου ταφεῖσα ἀψευδῶς.

» Περίελε ἀπ' ἐμοῦ ὄνειδος.

Ξένον ὄντως θαῦμα, καθορᾶται τῇ σῇ, ἀναβάσει εἰς τὸ ὄρος τὸ ἅγιον, Ἐλαιῶνος προσκυνήσεις Ἐλαιῶν.

» Καὶ γὰρ ἐκάθισαν ἄρχοντες.

Ξενωθεῖσαν φύσιν, γηγενῶν ἐκ Θεοῦ, παραβάσει τῇ ἀρχαίᾳ μητρόθεε, ᾠκειώσω τῇ κυήσει σου αὐτῷ.

» Καὶ γὰρ τὰ μαρτύριά σου.

Ξύλον παραδείσου, τοὺς γεννάρχας θνητοὺς, τὸ δὲ ξύλον ἀθανάτους ἀνέδειξε, σοῦ παράδεισε υἱὸς ὁ τοῦ Θεοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

» Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή.

Ὁ Δεσπότης πάντων, καθοράθη νεκρός, τί δαὶ ξένον εἰ καὶ μήτηρ Παντάνασσα, τούτου φαίνεται ἐν μνήματι νεκρά;

» Τὰς ὁδούς μου ἐξήγγειλα.

Ὁ τὴν γῆν κατέχειν, ἐπαρθεὶς νῦν σατᾶν, γῆς εἰς πέταυρον ἐμπέπτωκε τέλεον, μεταστάσης σου ἐκ γῆς εἰς οὐρανόν.

» Ὁδὸν δικαιωμάτων σου.

Ὁ ὡραῖος κῆπος, τῆς Ἐδὲμ ἀστεμφῶς, σοῦ τὸ σκῆνος τατατέρπει τὸ ἅγιον, τὸ δὲ πνεῦμα ἐπευφραίνει οὐρανός.

» Ἐνύσταξεν ἡ ψυχή μου.

Πῶς, ἢ ποῖον ὕμνον, ἐπιτάφιον νῦν, ἐξερεύξομαι ἐβόα σὺν δάκρυσιν, ὁ χορὸς τῶν Ἀποστόλων σῇ ταφῇ;

» Ὁδὸν ἀδικίας ἀπόστησον.

Πῶς, ὦ φῶς τοῦ κόσμου, νοητὸν γοερῶς, οἱ λογάδες θεολόγων ἀνέκραζον, ὑπὸ μόδιον τοῦ τάφου νῦν οἰκεῖς!

» Ὁδὸν ἀληθείας ᾑρετισάμην.

Προσκυνῶ τὴν γένναν, ἀνυμνῶ τὴν ταφήν, μεγαλύνω σὺν εἰσόδῳ τὴν κοίμησιν, ἐκθειάζω τὴν μετάστασιν τὴν σήν.

» Ἐκολλήθην τοῖς μαρτυρίοις.

Ῥήξατε τὰ ὄρη, εὐφροσύνης ᾠδάς, οἱ βουνοὶ δὲ ὡς ἀρνία χορεύσατε, τῇ κηδείᾳ τῆς Πανάγνου μυστικῶς.



» Ὁδὸν ἐντολῶν σου ἔδραμον.

Ῥήσεις θυηπόλων, ἐπὶ σὲ ἀληθῶς, ἐπληρώθησαν ἁπάντων δὲ μάλιστα, αἱ γραφεῖσαι τῷ καλάμῳ τοῦ Δαβίδ.

» Νομοθέτησόν με Κύριε τὴν ὁδόν.

Ῥῆμα γὰρ ἐκεῖνο, ἱερὸν ὅ φησιν, ἐκπληροῦται ὅτι μάλιστα σήμερον, ἐν ᾠδαῖς τῶν ἱερῶν ἀναβαθμῶν.

» Συνέτισόν με καὶ ἐξερευνήσω.

Σὺ τεθεῖσα τάφῳ, ἐκ τοῦ τάφου ἡμᾶς, ἐγερεῖς τῆς ἁμαρτίας ὦ δέσποινα, μεσιτείᾳ μητρικῇ σου πρὸς Θεόν.

» Ὁδήγησόν με ἐν τῇ τρίβῳ.

Σῶμα ζωηφόρον, σῶμα ὄντως σεπτόν, σῶμα θεῖον τὸ Θεὸν σωματῶσάν σε, πῶς κηδεύσωμεν ἐβόων μαθηταί;

» Κλῖνον τὴν καρδίαν μου.

Σὲ παρηγορίαν, ὦ Παρθένε ἐγώ, εἶχον Παῦλος δακρυρρόως ἐκραύγαζε, νῦν δὲ πῶς σου καθυποίσω χωρισμόν.

» Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου.

Τάξεις τῶν ἀγγέλων, μαθητῶν οἱ χοροί, ἐπιτύμβια συμψάλλουσιν ᾄσματα, σοὶ βασίλισσα τοῦ Πόλου καὶ τῆς Γῆς.

» Στῆσον τῷ δούλῳ σου τὸ λόγιον.

Τῆς ζωῆς τὴν πέτραν τὴν κυήσασαν πῶς, πέτρα τάφου σε καλύψει ἐκπλήττομαι, ἀπειράνδρως Παναγία μου Θεόν!

ΣΥΛΛΟΓΗ ΚΑΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ — ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

» Περίελε τὸν ὀνειδισμόν μου.

Τί πλανᾶσθε πλάνοι, Ἰουδαίων υἱοί; τί πειρᾶσθε περιτρέψαι τὸν σκίμποδα; κενὰ ὄντως μελετᾶτε φθονεροί.

» Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου.

Ὑπὸ γῆν ἐκρύβης, ὦ Σελήνη λαμπρὰ, καὶ νυκτὶ τῇ τοῦ θανάτου κεκάλυψαι, ἀλλ' ἀνάτειλον φαιδρότερον ἁγνή.

» Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου.

Ὑπὸ γῆν τεθεῖσα, ἐπανάγεις ἡμᾶς, ἀπὸ γῆς εἰς οὐρανοὺς κατοικίζουσα, αἰωνίως τῶν δικαίων ἐν σκηναῖς.

» Καὶ ἀποκριθήσομαι.

Ὑπερτέρα νόων, οὐρανίων σεμνὴ, ὡς ὑπάρχουσα καὶ πάσης τῆς κτίσεως, ἅπαν γένος σὺν αὐτοῖς σε προσκυνεῖ.

» Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματος.

Φθονουργὲ ἀλάστορ, καὶ λαὲ φονουργὲ Ἰουδαίων τί ἁπλοῖς μιαιοφόνους σου, χεῖρας σύδην τῆς Πανάγνου τῇ σορῷ;

» Καὶ φυλάξω τὸν νόμον σου.

Φύγε πλάνε, φύγε, συκοφάντα καὶ γὰρ, αἰσχυνθήσῃ μεταστάσης ὃ ἔπαθες, ἀναστάντος καὶ ἐκ τάφου τοῦ Χριστοῦ.

» Καὶ ἐπορευόμην ἐν πλατυσμῷ.

Φόβῳ πᾶσα κτίσις, ἠπλωμένην νεκρὰν, σὲ συνείχετο ὁρῶσα νεκρόζωε, τὴν γεννήσασαν ἁπάντων τὴν ζωήν.



» Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις.

Χαῖρέ σοι ὁ Παῦλος, μήτηρ λέγων ζωῆς, καὶ κηρύγματος ἐμοῦ ἡ ὑπόθεσις, σὲ ἠσπάζετο καὶ ἔκλαιε πικρῶς.

» Καὶ ἐμελέτων.

Χήραις ὥσπερ τότε, χιτωνίσκους τοὺς σοὺς, ἐχαρίζου οὕτω νῦν ἡμῖν χάρισον, τὴν σὴν χάριν χαριτώνυμε ἁδρῶς.

» Καὶ ἦρα τὰς χεῖράς μου.

Χεῖράς σου Παρθένε, τὰς Θεὸν ἀληθῶς, βαστασάσας οὐρανόθεν νῦν ἔκτεινον, ἐπευλόγησον ἁγίασον ἡμᾶς.

» Καὶ ἠδολέσχουν.

Στέγους ἐν τῷ σκότῳ, τὴν ἡλίου αὐγὴν, μυστικοῦ ὦ θυηπόλοι σκεπάζετε; μέγα θαῦμα, καὶ παράδοξον ὁμοῦ.

» Μνήσθητι τῶν λόγων σου.

Ψάλλε σκίρτα κροῦε, σὴν κιννύραν Δαβὶδ, ἡ βασίλισσα παρέστη διάχρυσος, καὶ ἐκάθισε Θεοῦ ἐκ δεξιῶν.

« Αὕτη με παρεκάλεσεν.

Ψήφῳ τοῦ υἱοῦ σου, εἰς τὰς χεῖρας αὐτοῦ, θεῖον ἧς πνεῦμα μὲν, τὸ δὲ σκῆνός σου, νυνὶ τάφῳ παραδίδως Μαριάμ.

» Ὑπερήφανοι παρηνόμουν.

Ὦ φωτὸς λυχνία, τοῦ ἀδύτου σεμνὴ, καὶ μεγάλου πῶς ὁ τύμβος κατέκρυψεν, ὁ σμικρός σε ἱερᾶς Γεσθημανῆ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

» Ἐμνήσθην τῶν κριμάτων.

Ὦ Ἡλίου δίσκε, νοητοῦ ὢ λαμπρὰ, καὶ ὁλόφωτε Σελήνη ἀνάτειλον, ἐκ τοῦ τάφου ὡς ὁρίζοντος εὐθύς.

» Ἀθυμία κατέσχε με.

Ὢ θαυμάτων ξένων! ἡ ζωῆς τὴν πηγὴν, ἀναβλύσασα πῶς τάφῳ καλύπτεται, καὶ κηδεύεται χερσὶ τῶν μαθητῶν!

» Ψαλτὰ ἦσνά μοι τὰ δικαιώματα.

Ἀληθὴς καὶ πόλου, καὶ τῆς γῆς βασιλὶς, καὶ Θεοῦ Πατρὸς Υἱοῦ Ἀειπάρθενος, πέλεις μήτηρ ἣν καὶ τάφῳ νῦν οἰκῆς.

» Ἐμνήσθην ἐν νυκτί.

Ἅδου μὲν κευθμῶνας, ὁ υἱός σου τοπρὶν,, ἐρημοῖ τάφῳ ταφεὶς τῇ ταφῇ σου δὲ, μύλας τούτου κομιδῇ νῦν ἐκρριζοῖς.

» Αὕτη ἐγεννήθη μοι.

Ἀποστόλων δῆμος, καὶ Ἀγγέλων πληθὺς, καὶ τὸ πᾶν τὸ ἱερόν σου ἐπέψαλλον, τότε σκῆνος, κόρη φόβῳ σὺν πολλῷ.

» Μερίς μου εἶ Κύριε.

Βάτον στάμνον τόμον, τράπεζαν κιβωτὸν, ὄρος κλίμακα λυχνίαν σε γέφυραν, πόκον κλίνην πύλην ἄμπελον πηγήν.

» Ἐδεήθην τοῦ προσώπου σου.

Βίβλον θρόνον ῥάβδον, κόχλον κρῖνον σκηνὴν, ὄρθρον κῆπον καὶ νεφέλην λαβίδα τε, ἱλαστήριον καὶ ἄρουραν ἁγνή.



» Διελογισάμην τὰς ὁδούς σου.

Βίβλοι θεηγόρων, προφητῶν προφανῶς, προδιέγραψαν ἡμεῖς δὲ κηρύττομεν, Θεοτόκον καὶ Παρθένον ἀψευδῆ.

» Ἡτιμάσθην, καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι.

Γενεαί σε πᾶσαι, ὡς προέφης πιστῶς, μακαρίζουσιν ἀνθρώπων πανάμωμε, μεταστᾶσαν ὑπὲρ φύσιν ἀψευδῶς.

» Σχοινία ἁμαρτωλῶν.

Γαβριὴλ Ἀγγέλων, πρωτοστάτα εἰπὲ, τί σημαίνει σου τὸ θάλλος τοῦ Φοίνικος; καὶ τί ἄλλο, νίκην λῶστε ὅτι μή;

» Μεσονύκτιον ἐξηγειρόμην.

Γῆς γὰρ καὶ τοῦ πόλου, παλαιοῦ πτερνιστοῦ, ἡ Κυρία μου νενίκηκε φάλαγγας, κἂν τὸν ὕπνον τὸν γλυκὺν ὑπνῇ νυνί.

» Μέτοχος ἐγώ εἰμι πάντων.

Δεῦρο πᾶσα κτίσις, ἐξοδίους ᾠδὰς, τῇ τῆς κτίσεως Ἀνάσσῃ προσοίσωμεν, σὺν Ἀγγέλοις Μαριὰμ πανευλαβῶς.

» Τοῦ ἐλέους σου Κύριε πλήρης.

Δόλῳ τοῦ βελίαρ, Εὔα θνήσκει ποτὲ, Ἀλλ' ἡ νέα Εὔα νῦν ἐξανίστησι, ταύτην θνήξασα τῳόντι παγγενῆ.

» Χρηστότητα ἐποίσας.

Δακρυρρόους θρήνους, τῇ πηγῇ τῆς ζωῆς, θιασῶται ἱεροὶ τί προσᾴδετε; ζῇ ἀνέστη, μετεστάθη ἀπὸ γῆς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

» Χρηστότητα καὶ παιδείαν.

Ἐκ φθορᾶς ἀνέβης, εἰς ἀφθάρτους σκηνάς, κατοικεῖν ὡς πρὸ τοῦ τόκου πανάφθορος, μετὰ τόκον καὶ ἐν τόκῳ ἀψευδῶς.

» Πρὸ τοῦ με ταπεινωθῆναι.

Ἐκλονεῖτο πᾶσα, κτίσις Μήτηρ Θεοῦ, καθορῶσά σε νεκρὰν τὴν γεννήσασαν, τοῦ θανάτου Ἰησοῦν τὸν νεκρωτήν.

» Χρηστὸς εἶ σὺ Κύριε.

Ἐν μητράσι κόρη, ἐν παρθένοις ἁγνή, παιδοτόκος ἀλλ᾽ ἀπείρανδρος πέφηνας, ἀειπάρθενος· βαβαί! τῶν δωρεῶν!

» Ἐπληθύνθη ἐπ᾽ ἐμέ.

Ζῇς καὶ μετὰ πότμον, καὶ ζωοῖς ἀληθῶς, νεκρωθέντας ζωηφόρῳ θανάτῳ σου, συμβουλίᾳ τοῦ Ἀλάστορος βροτούς.

» Ἐτυρώθη ὡς γάλα ἡ καρδία μου.

Ζάλης συνεχούσης, ὑμνητάς σου δεινῶς, καὶ κακώσεως παντοίας ἀπάλλαξον, πολεμήτορος Παντάνασσα ἡμᾶς.

» Ἀγαθόν μοι, ὅτι ἐταπείνωσας.

Ζώωσον ἡ μήτηρ, τῆς ζωῆς τὸν δεινοῖς, ἁμαρτήμασι νεκρόν με γενόμενον, τῷ θανάτῳ σου ἀθάνατε ζωή.

» Ἀγαθός μοι ὁ νόμος.

Ἤρθης δὴ εἰς ὕψος, Οὐρανῶν Οὐρανῶν, Οὐρανῶν ὑψηλοτέρα μητρόθεε, μὴ δὴ λείπῃς ἐποπτεύουσα ἡμᾶς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



» Δόξα.

Ἥλιε ἡλίων, Πάτερ Λόγε καὶ ζῶν, Πνεῦμα θεῖον ἡ μονὰς ἡ τρισάκτινος, καὶ Θεότης σῶσον ἅπαντας ἡμᾶς.

» Καὶ νῦν.

Ἧς μετέχεις δόξης, καὶ ἀλήκτου χαρᾶς, μετασχεῖν πάντας ταφὴν καταξίωσον, ἀνυμνοῦντας τὴν ἁγίαν σου ἡμᾶς.

Καὶ πάλιν ὁ πρῶτος χορὸς τὸ πρῶτον.

Ἡ ζωὴ ἐν τάφῳ.

Εἶτα συναπτὴ μικρά, καὶ ἐκφώνησις.

» Ὅτι εὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου.

καὶ θυμιάσας ἄρχεται τῆς Β΄. στάσεως.

Στάσις Β΄. ἄρχεται δὲ ὁ ἀριστερὸς χορός, τοῦ τροπ. ἐκ γ΄.

Ἄξιόν ἐστι, μεγαλύνειν σε Παρθενομῆτορ, τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν τῶν Σεραφίμ.

» Αἱ χεῖραις σου ἐποίησάν με.

Ἄξιόν ἐστι, τὸ δοξάζειν σε Θεοκυῆτορ, καὶ τὴν σὴν γεραίρειν, μετάστασιν, ὡς Βασίλισσαν τοῦ πόλου καὶ τῆς γῆς.

» Οἱ φοβούμενοί σε ὄψονταί με.

Βάτον ἐν Σινᾷ, προκατεῖδε πάλει σε Θεόπτης, ἄφλεκτον τοσύνολον μείνασαν, μέγα θαῦμα καὶ ξενήκουστον ὁμοῦ.

» Ἔγνων Κύριε, ὅτι δικαιοσύνη.

Βαίνεις ἀπὸ γῆς, εἰς πορείαν οὐρανοῦ Παρθένε, οὐρανοῦ ὑπάτη καὶ σύμπαντος, ἀλλὰ πάλιν ἐποπτεύεις καὶ τὴν γῆν.

» Γεννηθήτω δὴ τὸ ἔλεός σου.

Γλεῦκος Μαριάμ, τὸ γλυκύτατον ἡ τετοκυῖα, πῶς πικρὸν θανάτου ποτήριον, πίνεις κόρη; φρίξον ἔκστηθι τὸ πᾶν!

» Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί.

Γένος τῶν βροτῶν, ἐναμβρύνεται Παρθενομῆτορ, καὶ σκιρτᾷ τῇ θείᾳ ἀνόδῳ σου, παῤῥησίαν ἔχον πλείω πρὸς Θεόν.

» Αἰσχυνθήτωσαν ὑπερήφανοι.

Δέδια ἁγνή, ἐξοδίους σοι ᾠδὰς ὑφαίνειν, πάντα κεκτημένος παμβέβηλα, ὅμως δέξαι τὸ ψελλίζειν εὐμενῶς.

» Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε.

Δύνεις ὑπὸ γῆν, ὢ! ὁλόφωτε Σελήνη σύ γε, ἡ δικαιοσύνης τὸν Ἥλιον, ἀνατείλασα ἐν κόσμῳ τὸν Χριστόν.

» Γεννηθήτω ἡ καρδία μου.

Ἔδυ ὑπὸ γῆς, τὸ ἀνέσπερον Ἡλίου φάος, ὁ υἱὸς ἐμοῦ ὁ γλυκύτατος, οὕτως ὥσπερ δύνω ἔγωγε ἐγώ.

» Ἐκλείπει εἰς τὸ σωτήριόν σου.

Ἔκλαιον πικρῶς, ἡ λογὰς τῶν Ἀποστόλων τότε, ὅτε ἐν τῷ τάφῳ ἑώρακεν, ἡπλωμένην σε ὦ μῆτερ τῆς ζωῆς.

» Ἐξέλιπον οἱ ὀφθαλμοί μου.

Ζῆς Γεθσημανῇ, κἂν ἐν Τάφῳ κατετέθης ὄντως, τὴν ἀγήρω κόρη ἀειζῶε, ζωοδόχε θεοδόχε Μαριάμ.



« Ὅτι ἐγεννήθην ὡς ἀσκός.

Ζάθεε ἁγνή, θεοείκελε ἁγιωτάτη, ἶε μυριώνυμε ἄνασσα, βασιλεύουσα ὁμοῦ τῷ σῷ υἱῷ.

« Πόσαι εἰσὶν αἱ ἡμέραι.

Ἥλιος ὁμοῦ, περιβάλλεσθον καὶ ἡ Σελήνη, τὸ μελεμβαφὲς νῦν ἱμάτιον, καὶ ἀπόρησον καὶ ἔκστηθι τὸ πᾶν.

« Πότε ποιήσεις ἐκ τῶν

Ἤδη ἔδυ γάρ, ἡ χρυσάκτινος Σελήνη τάφῳ, τοῦ παντὸς ἀνέσπερον ἥλιον, ἀνατείλασα Χριστὸν ἡ Μαριάμ.

« Διηγήσαντό μοι παράνομοι.

Θρῆνον ἱερόν, δεῦτε ᾄσωμεν πιστοὶ θανούσῃ, ὡς αἱ μυροφόροι γυναῖκες πρίν, τῷ χριστῷ καὶ νῦν τῇ μητρὶ αὐτοῦ.

« Παραβρυχὺ συνετέλεσάν με.

Θρόνε τοῦ Θεοῦ, Ἡλιόμορφε παστὰς Κυρίου, πόλις δωδεκάτειχε πάγχρυσε, στάμνος μάννα προσκυνοῦμέν σε πιστῶς.

« Κατὰ τὸ ἔλεός σου ζῆσόν με.

Ἶρις ἱερά, τί μηνύεις Κόσμῳ ἀναβᾶσα, Οὐρανοῦ καμμάραν τί ἄλλο γάρ, εἰμή, Παύλαν νοητοῦ Κατακλυσμοῦ.

« Εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου.

Ἵνα σε πιστοί, ζωοδόχον μνῆμα προσκυνοῦμεν,



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τέθαπται ἐν σοὶ πάντων ἡ ζωὴ, ἡ φυσίζωον γεννήσασα Θεόν.

« Ἐθεμελείωσας τὴν γῆν καὶ διὰ

Κόλπους μητρικοὺς, ὑπανοίξασα νῦν Οὐρανόθεν, δέξαι τὰς αἰτήσεις τῶν δούλων σου, καὶ προσάγαγε σεμνὴ τῷ σῷ Υἱῷ.

« Τῇ διατάξει σου διαμένει ἡμέρα.

Κόλπους μητρικοὺς, ὑπανοίξασα νῦν Οὐρανόθεν, δέξαι τὰς αἰτήσεις τῶν δούλων σου, καὶ προσάγαγε σεμνὴ τῷ σῷ Υἱῷ.

» Τῇ διατάξει σου διαμένει ἡμέρα.

Κόλπους πατρικοὺς, ὁ υἱός σου μὴ λιπὼν παρθένε, ἐν τοῖς σοῖς ἁγνὴ ἀνεπαύσατο, σὰρξ γενόμενος ἀτρέπτως δι' ἡμᾶς.

» Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη.

Λίθος λαξευτὸς, τὸν ἀκρόγονον καλύπτει λίθον, ὄρος τὸ ἀλάξευτον φῦσάν σε, ὥς τις εἶδε τὸν Χριστὸν ὦ Μαριάμ.

« Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι

Λῦσον τὴν ἀχλὺν, τῶν πταισμάτων φῶς ἁγνὴ τοῦ Κόσμου, τὸ ἀληθινὸν ἡ αὐγάσασα, τὸν Χριστόν μου ὦ χρυσὴ ἀνατολή.

» Σὸς εἰμι ἐγὼ, σῶσόν με.

Μύρων ἀπορῶ, ἀρετῶν προσφέρειν τῇ Σορῷ σου, ἔγωγε ὦ θεῖον ἀλάβαστρον, θείου μύρου δεκτικὸν χορηγικόν.



« Ἐμὲ ὑπέμειναν ἁμαρτωλοί.

Μόνων δὲ μελλῶν, ὀλιγίστων, εὐπορῶ ὁ πένης, καὶ οὐδαμινῶν ἅπερ δέχοιο, ὡς τῆς χήρας ὁ Υἱός σου τὰ λεπτά.

» Πάσης συντελείας εἶδον πέρας.

Νέκρωσιν τὴν σὴν, κτίσις πᾶσα βλέπουσα Παρθένε, ταῦτά σοι πικρῶς προσεφθέγγετο, μὴ χρονίσῃς ἡ ζωὴ ἐν τοῖς νεκροῖς.

» Ὡς ἠγάπησα τὸν νόμον σου.

Νᾶμα γλυκασμοῦ, ζωῆς ῥεῖθρον πῶς πικρὸς θανάτου, πέπωκέ σε λάρυγξ παρθένε μου; ἀλλ' εἰς ἔμετον τραπήσεται αὐτῷ.

» Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με.

Ξένον καὶ φρικτόν! πῶς νεφέλαι κοῦφαι τῶν σωμάτων, τότε τὰ βαρύτατα ἔφερον, ὥσπερ νῆες ἐν θαλάσσῃ μαθητῶν;

» Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα.

Ξύλου τοῦ καρποῦ, ἡ προμήτωρ θνήσκων γευσαμένη, τὸ δ' ἐκ σοῦ ἀνθῆσαν ἐζώωσε, ταύτην θάλλος, ὦ Παράδεισε τερπνέ.

» Ὑπὲρ πρεσβυτέρους συνῆκα.

Ὄφις τοῖς ὠσὶν, τοῖς τῆς Εὔας ψυθηρίσας πάλαι, Παραδείσου ἔδειξεν ἄποικον, σῷ δὲ τόκῳ εἰσῳκίσθη παγγενῆ.

» Ἐν πάσης ὁδοῦ πονηρᾶς.

Ὄρος νοητὸν, ἐξ οὗ λίθος ἀπετμήθε ἄνευ,

ΑΝΑΓΝΩΣΤΗΡΙΟ ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

χειρῶν ἀνθρωπίνων ἀπείρανδρε, εἶδέ σέ τις ὁ συντρίψας τὸν Σατᾶν.

» Ἀπὸ τῶν κριμάτων σου οὐκ' ἐξέκλεινα.

Πλάκα δὲ ἁγνή, ἄλλοις γράμμασιν ἐγγεγραμμένην, τοῦ Θεοῦ δακτύλῳ ἑώρακεν, ἄλλος πόκον, ἄλλος θείαν κιβωτόν.

» Ὡς γλυκέα τῷ λαρυγγί μου.

Πύλην ἄλλος δέ, μανναδόχον στάμνον πάλιν ἄλλος, ἕτερος λυχνίαν ἑπτάφωτον, μέσον ἔχουσαν λαμπάδιον Χριστόν.

» Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα.

Ῥάβδον θ' ἱεράν, σὲ βλαστήσασαν κατεῖδεν ἄλλος, τὸν Χριστὸν Μαρία ἀπείρανδρε, τίς δὲ οὗτος; ὁ προφήτης Ἀαρών.

» Λύχνος τοῖς ποσί μου ὁ νόμος σου

Ῥόδον τὸ τερπνόν, καὶ ἀμάραντον ῥοδῆ τιμία, ὡς ῥοδινιᾶς τῆς κοιλίας σου, σὺ ἐξήνθησας εὐόσμως Μαριάμ.

» Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι.

Στόμα ἱερόν, στόμα ἔμπλεον σοφίας θείας, στόμα τί σιγᾷς τὸ γλυκύτατον; μὴ δὴ σύγε· παρακάλεσον ἡμᾶς.

» Ἐταπεινώθην ἕως σφόδρα.

Στέναξον ὦ γῆ, οὐρανὲ πικρότατα νῦν κλαῦσον, σκέπασον τὸ φῶς τῶν φωστήρων σου, ἀνεβόων γοερῶς οἱ μαθηταί.



» Τὰ ἑκούσια τοῦ στόματός μου.

Τρεῖς ἱεραρχῶν, Ἱερόθεος σὺν Τιμοθέῳ καὶ Διονυσίῳ ἐκήδευον, θρηνηδόν σε, καὶ λογάδες φοιτητῶν.

» Ἡ ψυχή μου ἐν ταῖς χερσί σου.

Τότε καὶ φωνῶν, ὁ ἀὴρ κατεπληροῦτο ὅλος, τῶν ὑπερκοσμίων δυνάμεων, αἳ ἀνύμνουν τὴν ἁγίαν σου ταφήν.

» Ἔθεντο ἁμαρτωλοὶ παγίδα.

Ὕπνωσας μικρόν, τὸν φυσίζωον ἐν ὕπνοις κόρη, ζωαρχικοτάτη βασίλεια, ἀλλ' ἀνέστης ὡς ὁ τάφος ἐκβοᾷ.

» Ἐκληρονόμησα τὰ μαρτύριά σου.

Ὕμνον θρηνῳδῶς, μαθηταὶ σὺν θείοις ἱεράρχαις, τῇ Θεοῦ μητρὶ τότε ἔφερον, ὕμνει δὲ σὺν τούτοις, καὶ Σεραφίμ.

» Ἔκλινα τὴν καρδίαν μου·

Φίλοι τοῦ ἐμοῦ, μαθηταὶ Υἱοῦ Θεοῦ καὶ Λόγου, πένθος τὴν χαράν μου ἐργάζεσθε; μὴ ὦ τέκνα μου ὑμᾶς παρακαλῶ.

» Παρανόμους ἐμίσησα.

Φοίνικος θαλλός, νίκης κλάδος σύμβολον Ἀγγέλου, σοὶ διὰ χειρὸς προσκομίζεται, νικήτρεια οὔσῃ πάντων τῶν παθῶν.

» Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ.

Χείλη ἱερά, καὶ τὰ ὄμματα πῶς μύσω κόρη,

πῶς νεκροπρεπῶς δὲ κηδεύσω σε! φρίττω Παῦλος ἀνεβόα σὺν κλαυθμῷ.

» Ἐκλίνατο ἀπ' ἐμοῦ πονηρευόμενοι.

Χεῖράς σου σεμνὴ, αἷς ἐβάςασας τὸν πάντων κτίστην, ἆρον πρὸς αὐτὸν ὑπὲρ ἅπαντας, καὶ εὐλόγησον ὑμνοῦντας σε ὑμᾶς.

» Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου.

Ψαύσαντας σοροῦ, τῆς ἁγίας σου τυφλοῖς ἐν τάχει, καὶ ἀποστερεῖς τῶν χειρῶν αὐτοὺς, μεταγνῶντας δ' ἰατρεύεις παρευθείς.

» Βοήθησόν μοι καὶ σωθήσομαι

Ψάλλων ψαλμῳδὸς, ψαλμικώτατα προσεπεφώνει, εἰς ἀνάπαυσίν σου ἀνάστηθι, σὺ ὦ Κύριε καὶ σοῦ ἡ Κιβωτός.

» Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας.

Ὦ! φρίξον τὸ πᾶν! ἡ πρὸ τοῦ τόκου γὰρ καὶ μετὰ τόκον, καὶ ἐν τόκῳ οὖσα πανάφθορος, πῶς θανάτου νῦν ὑποίκει τῇ φθορᾷ;

» Παραβαίνοντας ἐλογισάμην

Ὢ ἰοῦ ἰοῦ! τῆς ἀπείρου τερπολῆς Παρθένε, Γῆ καὶ Οὐρανὸς ἧς πεπλήρονται, σοῦ βαινούσης, ἀπὸ Γῆς εἰς Οὐρανούς.

» Καθήλωσον ἐκ τοῦ φόβου σου.

Νόμον ὁ Μωϋσῆς, δοὺς ἐν ὄρει τῷ Σινᾶ, τοπάλαι, σάρκα ὑπὸ σοῦ προσελάβετο, ἀπειράνδρως καὶ τῷ νόμῳ πειθαρχεῖ.



» Ἐποίησα κρίμα καὶ δικαιοσύνην.

Ἔστης δεξιῶν, διαχρύσῳ περιβεβλημμένη ἐμπεπικιλμένη πανάμωμε, ἐκ Θεοῦ σου ψαλμικῶς ἱματισμῷ.

Ἔκδεξαι τὸν δοῦλόν σου.

Ὅρος ἀρετῆς, ἁγιότητοςκαὶ παρθενίας, περιεκτικώτατα πέφηνας, ὦ παρθένε Παναγία ἀψευδῶς.

» Οἱ ὀφθαλμοί μου ἐξέλιπον.

Φεῦ! βαβαί! ἰού, καὶ ἀβάλαι! τί τὸ μέγα τοῦτο, καὶ παραδοξότατον θέαμα! καὶ σὺ θνήσκεις ζωῆς μήτηρ Μαριάμ;

» Ποίησον μετὰ δούλου σου.

Ὕπερθεν Υἱὸς ὑφαπλώσας σὸς παλάμας Κόρη, χάριεν τὸ θεῖον ἐδέξατο, καὶ ἐφίλησέ σου πνεῦμα νοερῶς.

» Δοῦλός σου εἰμὶ ἐγώ, συνέτισον.

Τίμιος Θεοῦ, ἐναντίον θάνατος ὁσίων, τῶν αὐτοῦ ἐστι τιμιώτατος, δ' ἔνι πάντων σου, ὡς ψάλλει ὁ Δαβίδ.

» Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ.

Ὅταν πᾶσαν γῆν, κρίνων ἔλθῃ ὁ υἱός σου Κόρη, ἀποδώσων πᾶσι τὰ πρέποντα, τότε Δέσποινα μεσῖτίς μου γενοῦ.

» Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου.

Ὕεσι καὶ γὰρ, κατερρύπωσα τῆς ἀφθαρσίας,

ΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ

καὶ εἰμὶ νυμφῶνος ἀνάξιος, καὶ εἰς ὕαμα 6ληθή-
σομαι λοιπόν.

» Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου.

Πάντας τοὺς πιστῶς, προσκυνοῦντάς σου τὴν μνήμην σῶσον, οἴκτιρον καὶ ῥῦσαι κολάσεως, τῆς μελλούσης καὶ γεέννης τοῦ πυρός.

» Θαυμαστὰ τὰ μαρτύριά σου.

Ἄρρητον ἁγνὴ, ὡς τὸν τόκον οὕτως ἐκθιάζω, σοῦ τὴν θείαν σύλληψιν ἔγωγε, καὶ τὴν κοίμησιν τιμῶ καὶ προσκυνῶ.

» Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ.

Ῥοῦν ὡς ἀληθῶς, τὸν τῆς φύσεως τὸν πρὶν Παρθένε, σὺ ἐν τῷ σῷ τόκῳ ἀνέστειλας, πεπονθίας ἀτοπώτατα ἁγνή.

» Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα.

Ἵλεων ἐμοὶ, σὸν Υἱόν ἀπέργασαι ὑμνοῦντι, θείαν σου ταφὴν παναγία μου, καὶ ἀξίωσον ἀφέσεως τυχεῖν.

» Δόξα.

Ὅλας συνενῶν, ἀσυγχύτως θείας ὑποστάσεις, Πατέρα Υἱὸν σὺν τῷ Πνεύματι, καὶ μερίζον ἀμερίστως προσκυνῶ.

» Καὶ νῦν.

Ὕμνοις τὴν ταφὴν, καὶ τὴν κοίμησιν ὑμνοῦντας Κόρη, σὴν καὶ προσκυνοῦντας ἐλέησον, καὶ ἀξίωσον τῆς δόξης σου ἡμᾶς.



Καὶ πάλιν ὁ ά, χορός.
τὸ ά., τὸ. Ἄξιον.
Εἶτα συναπτὴ μικρὰ, καὶ ἐκφώνησις
» Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν ὁ ἐπὶ θρόνου τῶν Χερουβίμ.
καὶ θυμιάσας, ἄρχεται τῆς γ΄. στάσεως.
Στάσις τρίτη. Ἦχος τρίτος. ἄρχεται πάλιν ὁ δεξιὸς χορός.
τρισσεύοντες ὁμοίως τὸ, ά.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσφέρουσι Παρθένε.

» Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με.

Βίβλοι θεηγόρων, ἀνύμνουν σου Παρθένε, μετάστασιν τὴν θείαν.

» Τὰ διαβήματά μου κατεύθυνον.

Γένος δὲ ἀνθρώπων, ἁπάντων, ἐκθειάζει, τὴν ἔνθεόν σου μνήμην.

» Λύτρωσαί με ἀπὸ συκοφαντίας.

Δεῦρο πᾶσα κτίσις, τιμήσωμεν τὴν μνήμην, μητρὸς, τοῦ πάντων κτίστου.

» Τὸ προσωπόν σου ἐπίφανον.

Ἔφριξεν ἡ κτίσις, σοῦ πᾶσα νεκρωθείσης, μήτηρ τοῦ πάντων κτίστου.

» Διεξόδους ὑδάτων κατέδυσαν.

Ζάθεε Παρθένε, ἐνθέως ἐκθειάζω, τὴν ἔνθεον ταφήν σου.

» Δίκαιος εἶ Κύριε καὶ εὐθεῖαι αἱ κρίσεις σου.

Ἦχος θείων νόων, ἠκούετο ἀθρόως, τῇ θείᾳ σου ἐξόδῳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

» Ἐνετείλω δικαιοσύνην.

Θρῆνος συνεκίνουν, Ἀπόστολοι οἱ θεῖοι, σοῦ μόνης νεκρωθείσης.

» Ἐξέτηξέ με ὁ ζῆλός σου.

Ἴθι οὖν βοῶντες, πρὸς καλιὰς ἁγίας, περιστερὰ τιμία.

» Πεπυρωμένον τὸ λόγιόν σου.

Κατάπαυσον καθάπερ, ὁ σὸς προπάτωρ ψάλλει, Δαβὶδ ἐκπετασθεῖσα.

» Νεώτερος ἐγὼ εἰμί.

Λύσιν τε παράσχου, ποικίλων ὀφλειμάτων, κόσμῳ ταῖς σαῖς πρεσβείαις.

» Ἡ δικαιοσύνη σου δικαιοσύνη.

Μάννα ζωηφόρον, ζώωσον καὶ θρέψον, τοὺς πείνῃ νεκρωθέντας.

» Θλίψεις καὶ ἀνάγκαι εὕροσαν.

Νόας οὐρανίους, ἡ νέκρωσίς σου κόρη, ἐξέσησεν ἀθρόον.

» Δικαιοσύνη τὰ μαρτύριά σου.

Ξένα ὁ Δεσπότης, ἐν σοὶ τῇ ἀληθείᾳ τετέλεκε Μαρία.

» Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου

Ὅλος ὑποδύς σου τὴν μήτραν ἀποῤῥήτως, ἐτέχθη σε φυλάξας.

» Ἐκέκραξά σοι σῶσόν με

Παρθένον ὡς πρὸ τόκου, ἀπάντων καὶ ἐν τόκῳ, πάντως καὶ μετὰ τόκον.



» Προέφθασα ἐν ἀωρίᾳ.

Ῥᾶνον ἐπὶ πᾶσι, τοῖς πόθῳ σε τιμῶσι, πλούσια σὰ ἐλέη.

» Προέφθασαν οἱ ὀφθαλμοί μου.

Σῶμα θεοδόχον, Ἀπόστολοι θεόπται, κηδεύσατε ἐνθέως.

» Τῆς φωνῆς μου ἄκουσον.

Τέννος σοι προσπλέκω, ἐξ ὕμνων ὡς ἀνθέων, ὦ θείας δόξης τέννος.

» Προσήγγισαν οἱ καταδιώκοντές με

Ὕμνους ἐξοδίους, ψαλμοὺς ἐπικηδείους ἀνέμελπόν σοι κόρη.

» Ἐγγὺς εἶ σὺ Κύριε, καὶ πᾶσαι.

Φόβῳ παρεστῶσαι, Ἀγγέλων καὶ ἀνθρώπων, αἱ τάξεις σου τῷ σκήνει.

» Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου.

Χεῖράς σου Παρθένε, ἐκτείνασα συνήθως, εὐλόγησον τὸν κόσμον.

» Ἴδε τὴν ταπείνωσίν μου.

Ψάμμῳ ἰσαρίθμους, ᾠδὰς ἐὰν προσφέρω, ἧτταν ὁμολογῶ σοι.

» Κρῖνον τὴν κρῖσιν μου

Ὢ φρικτὰ καὶ ξένα, σήματα Θεοῦ μήτηρ, πῶς Γῆ συγκαλύπτει;

» Μακρὰν ἀπὸ ἁμαρτωλῶν.

Ὤχουν μετὰ θάμβους, ἐπὶ νεφῶν Παρθένε, οἱ θεῖοι ὑπηρέται.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

» Οἱ οἰκτιρμοί σου πολλοί.

Ψήφῳ Οὐρανίᾳ, πεμπόμενοι κηδεῦσαι, σὸν θεοδόχον σῶμα.

» Πολλοὶ οἱ ἐκδιώκοντές με.

Χαῖρέ σοι βοῶμεν, τὸ τοῦ Ἀγγέλου χαῖρε, χαρᾶς αἰτία χαῖρε.

» Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην.

Φόβῳ τε καὶ τρόμῳ, κρατούμενοι Παρθένε, οἱ ταπεινοί σου δοῦλοι.

» Ἴδε ὅτι τὰς ἐντολάς σου.

Ὕπνον ζωηφόρον, ὑπνοῦσα τέως κόρη, ἐν τάφῳ μὴ χρονίσῃς.

» Ἀρχὴ τῶν λόγων σου.

Τήμερον τὰ κάτω, τοῖς ἄνω συγχορεύει, σεπτῇ σου μεταστάσει.

» Ἄρχοντες κατεδίωξάν με.

Σῶμα ζωοδόχον, τιμῶ καὶ προσκυνῶ σε, ἅμα σεπτοῖς συνδόσιν

» Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ μαρτύριά σου.

Ῥάνατε τὸν τάφον, παρθένοι τῆς Παρθένου, ὦ μυροφόροι μῦρα.

» Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην.

Πόλος σε κατέχει, ὁλόφωτε σελήνη, γῆ νῦν κἂν συγκαλύπτει.

» Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε.

Ὁρίζοντος οὖν ὥσπερ, ἀνατολῆς ἐκ τάφου, ἀνάτειλον ἐν τάχει.



» Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι.

Ξίφει ἀοράτῳ, χεῖρας τολμητείας, ἐκκόπτεις παλαμναίου.

» Προσεδόκων τὸ σωτήριόν σου,

Νίκην βασιλεῦσι, πιστοῖς κατὰ βαρβάρων, νέμοις τοῖς σὲ ὑμνοῦσι.

» Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου.

Μῦρα ὥσπερ ἄλλα, προσφέρω τῇ ταφῇ σου, τὰ εὐτελῆ μου ἔπη.

» Ἐφύλαξα τὰς ἐντολάς σου.

Λάρναξ ζωηφόρε, πῶς νῦν κενὴν ὁρῶ σε, τοῦ ζωοδόχου σκήνους ;

» Ἐγγισάτω ἡ δέησίς μου.

Κροῦε τὴν κιννύραν, καὶ ψάλλε νῦν εὐτόνως, Δαβὶδ θεοπροπάτωρ.

» Εἰσέλθο τὸ ἀξίωμά μου·

Ἴδε μαθητάς σου, καὶ δὸς φθογγὴν γλυκεῖαν, ὁ Παῦλος ἐκβοᾷ σοι.

» Ἐξερεύξαντο τὰ χείλη μου.

Θρῆνον συνεκίνει, ὁ Παῦλος καθορῶν σε, παρθένε νεκρωθεῖσαν.

» Φθέγξαιτο ἡ γλῶσσα μου.

Ἠὼς παμφαεστάτη, ἐξάπλωσόν σου κτίσει, χρυσολαμπεῖς ἀκτῖνας.

» Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με.

Ζώνην καὶ σινδόνα, καὶ τ' ἄλλα σὺν τῷ τάφῳ, ξύμβολα προσκυνῶ σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

» Ἐπεπόθησα τὸ σωτήριόν σου.

Ἕως φανοτάτη, πῶς νὺξ ἡ τοῦ θανάτου, κατέλαβέ σε τέως !

» Ζήσεται ἡ ψυχή μου.

Δὸς τοῖς μετὰ πόθου, τὴν μνήμην σου τελοῦσιν, ἀλπλακημάτων λύσιν.

» Ἐπλανήθην ὡς πρόβατον.

Γαλήνην τ᾽ ἐκκλησίᾳ, καὶ κόσμῳ τὴν εἰρήνην, πάναγνε σοῦ τῇ μνήμῃ.

» Δόξα πατρί.

Βαβαὶ τοῦ μυστηρίου! πῶς εἷς Θεὸς τὰ τρία, Πατὴρ, Υἱὸς καὶ Πνεῦμα.

» Καὶ νῦν.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Καὶ αὖθις τὸ πρῶτον « Αἱ γενεαὶ πᾶσαι », συνήθως.

Εἶτα τὰ παρόντα εὐλογητάρια, εἰς ἦχον πλ. ά.

Εὐλογημένη Πάναγνε, σκέπε, φρούρει, τοὺς σὲ ὑμνολογοῦντας.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθεῖσαν, τὴν τεκοῦσαν, τὸν ἰσχὺν καθελόντα θανάτου, καὶ σὺν ἑαυτῷ, τοὺς βροτοὺς ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογημένη Πάναγνε, σκέπε, φρούρει, τοὺς σὲ ὑμνολογοῦντας,

Τί ὡς μῦρα, συμπαθῶς τὰ δάκρυα, ὦ Ἀπόστολοι νυνὶ κιρνᾶτε, ἡ Παρθένος, ἐπ᾽ ἐμοὶ ἐφθέγγετο, μὴ ὦ φίλοι πένθος τὴν χαράν μου, οἴεσθε



καὶ γὰρ, ἐκ τάφου τριήμερον, ἐν χαρᾷ, μεταστᾶσαν θεάσεσθε.

Εὐλογημένη Πάναγνε, σκέπε, φρούρει, τοὺς σὲ ὑμνολογοῦντας·

Λίαν ταχὺ, μαθηταὶ ἐφέροντο, ὡς ἐφ᾽ ἅρμασιν, ἐν ταῖς νεφέλαις, ἀλλ᾽ ἰσθέντες, μηνυθεῖσαν κοίμησιν, Παρθένε, σὴν πρὸς Γαβριὴλ, ἤρξαντο ὀδύρεσθαι, θρηνολόγους φωνὰς, σοὶ προσαναπέμποντες.

Εὐλογημένη πάναγνε, σκέπε, φρούρει, τοὺς σὲ ὑμνολογοῦντας.

Μυροφόροι, ὡς πάλαι, πρὸς τὸν Τάφον ἐλθοῦσαι, τοῦ Υἱοῦ σου, καὶ νῦν οὐ μετὰ μύρων, ἄχραντε σῷ, παρειστήκεισαν χῆραι, ἀλλὰ σὺν πολλοῖς δάκρυσι κραυγάζουσαι· ὡς τεκοῦσα Θεόν, ἀνάστα τοῦ μνήματος.

» Δόξα Τριαδικόν

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ, κράζοντες τὸ, ἅγιος, ἅγιος, ἅγιος εἶ Κύριε.

Καὶ νῦν, θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἁμαρτίας Παρθένε, τὸν Ἀδὰμ ἐλυτρώσω· χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ, ὁ ἐκ σοῦ σαρκωθεὶς, Θεὸς καὶ ἄνθρωπος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

» Τὸ ἀλληλούϊα τρίς.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις, Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης.

Εἶτα τὰ καθίσματα. Κάθισμα ἦχος ά.

» Τὸν τάφον σου σωτήρ.

Σινδόνι καθαρᾷ, περιστείλασα μόνη τὸ σῶμά σου σεμνὴ, ὡς ἠθέλησας ὄντως, τοῦ Κόσμου συστάσεως, καὶ εἰρήνης τὰς χεῖράς σου, ὑπερύψωσας,, πρὸς τὸν ἐκ σοῦ σαρκωθέντα, εἰς παλάμας οὗ, τὸ θεῖον Πνεῦμα παρέθου, πιστῶν δὲ τὸ σκῆνός σου.

» Δόξα καὶ νῦν τὸ αὐτό. Ἕτερον ὅμοιον.

Ἐξέστησαν χοροὶ, τῶν Ἀγγέλων ὁρῶντες, ἐν Τάφῳ σὲ νεκρὰν, ἡπλωμένην Παρθένε, τὴν μόνην κυήσασαν, τὸν τὸν Ἅδην νεκρώσαντα· ἀλλ' ἡ σύμπασα, ἔχαιρε σὲ ᾐσθημένη, ὅτι Δέσποινα, ὑπερπρεσβεύειν ἐθέλεις, αὐτῆς ἐν τῷ τόκῳ σου.

»Δόξα καὶ νῦν τὸ αὐτό. Καὶ εὐθὺς τὸν πεντηκοστόν.

Εἶτα ὁ Κανών. Τοὺς Εἱρμοὺς, ἀνὰ δύω, τὰ δὲ Τροπάρια πρὸς μίαν, καὶ ἔσχατον, ὁ Εἱρμός.

» Ὁ Κανὼν, Ἦχος πλαγίου β'.

Ὠδὴ ά. ὁ Εἱρμός.

» Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι »διώκτην τύραννον, ὑπὸ Γῆν ἔκρυψαν, τῶν σε»σωσμένων οἱ παῖδες. ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες, »τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Κύριε Θεέ μου, ἐξόδιον ὕμνον καὶ ἐπιτάφιον,



ᾄδειν ἀρξάμενος, σοῦ τῇ Μητρὶ ἐξαιτοῦμαι, τὴν ἐξ ὕψους σου βοήθειαν. τῶν ἀβοηθήτων γὰρ, ἰσχὺς εἶ καὶ κραταίωμα.

Ἄνω σου τὸ Πνεῦμα, Θεοῦ δεξιόθεν, θεοχαρίτωτε, ἡ Κτίσις ἅπασα, κάτω δὲ Σῶμα ἐν Τάφῳ, καθορῶσα κατεπλήττετο, καὶ πιστῶς ἐδόξαζε, τὴν θείαν σου μετάστασιν.

Ἵνα σου τῆς δόξης τὰ πάντα πληρώσῃ, κατεπεφοίτηκεν, ἐν σῇ νηδύϊ ἁγνὴ, ὁ τοῦ Θεοῦ Θεὸς Λόγος, καὶ ἐξ οὗ διπλοῦς ταῖς φύσεσι, καθοράθη τέλειος, Θεὸς ὁμοῦ καὶ ἄνθρωπος.

Σήμερον τὰ πάντα, φωτὸς ὑπερθέου, ὁμοῦ πεπλήρωται, σὺν τῇ Γῇ Πόλος τε, καὶ καταχθόνια ὄντως. πᾶσα κτίσις οὖν ἑόρταζε, τῇ Κυρίᾳ ψάλλουσα, δοξάζω σου τὴν Κοίμησιν.

Καταβασία. » Κύματι θαλάσσης.

Ὠδὴ γ'· ὁ Εἱρμός.

» Σὲ τὸν ἐπὶ Ὑδάτων, κρεμάσαντα, πᾶσαν »τὴν Γῆν ἀσχέτως, ἡ Κτίσις κατιδοῦσα, ἐν τῷ »κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο, »οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε κραυγάζουσα.

Σύμβολον τῆς ταφῆς σου κατέλιπες, ἱεράν σου Σινδόνα, τῇ Κτίσει Παναγία, ὡς ὁ Υἱός σου Πανάμωμε, Ὀθόνην, καὶ Σουδάριον, δι' ὃ κραυγάζει σοι, δόξα τῇ σεπτῇ Κοιμήσει σου.

Ἥπλωσας Παναγία, τὸ σῶμά σου, τὸ πανάχραντον μόνη, ἐν Κλίνῃ, ὡς ἠράσθης, καὶ ὑπὲρ

Κόσμου συστάσεως, ἱκετικῶς ἀνύψωσας, τὰς θείας χεῖράς σου, πρὸς Θεὸν θεοχαρίτωτε.

Μνήματι συνεσχέθης, Πανάχραντε, πρὸς καιρὸν ὡς Υἱός σου, ἀνέπτης δὲ ἐν τάχει, εἰς Οὐρανοῦ τὰ σκηνώματα, ἐκ δεξιῶν τε ἕστηκας, ἥτις φθὰς ἔφησε, τοῦ Θεοῦ θεοχαρίτωτε.

Ὤφθης τιμιωτέρα, τῆς Κτίσεως, μακαρία Μαρία, ἁπάσης διὰ τοῦτο, χρεωστικῶς σε ἡ σύμπασα, ὑμνολογεῖ ἑκάστοτε, οὐκ ἔστιν ἄμεπτος, πλήν σου Πάναγνε κραυγάζουσα.

Καταβασία. Σὲ τῶν ἐπὶ ὑδάτων

Συναπτὴ μικρά, καὶ ἐκφώνησις. «Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.»

Εἶτα τὸ παρὸν Κάθισμα. ἦχος ά.

» Τὸν Τάφον σου σωτήρ.

Τὸν Τάφον σου σεμνή, εὐλαβῶς προσκυνοῦμεν, καὶ Ζώνην ἱεράν, προσπτυσσόμεθα πάντες, Σινδόνα τὴν ὑπέρτιμον, μετὰ πόθου σεβόμενοι, σὺν Εἰκόσι τε, ὡς δι' αὐτῶν σοι τὸν πόθον, ἀναπέμποντες, ἀντιλαμβάνομεν λύσιν, παντοίων δεινῶν ἡμῶν.

Ὠδὴ δ'. ὁ Εἱρμός.

»Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν, προορῶν »Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα, σὺ δυναστῶν διέ»κοψας κράτος ἀγαθὲ, ὁμιλῶν τοῖς ἐν Ἅδῃ ὡς »Παντοδύναμος.

Ἑβδόμην Κόρη, ὡς ἡγίασεν, ὁ Υἱός σου το-



πρὶν, οὕτω σήμερον σοῦ γε, θεοειδῶς τὴν σύμπασαν, μνήμη ἱερὰ, Οὐρανὸν Γῆν καὶ Ἅδου τὰ καταχθόνια.

Ῥωμαλαιότης πεφανέρωται, τῆς ψυχῆς σου Ἁγνὴ, ἐν καιρῷ τοῦ θανάτου, καθόλου δειλιάσασα ὑπεραληθῶς, τοὐναντίον δὲ μᾶλλον, ὡς Παντοδύναμος.

Ὁ Ἅδης ὄντως τῇ Κοιμήσει σου, κατεπλάγη ὁρῶν, συσσώμως σ' αἰρομένην, καὶ τί δεινόν μοι γέγονεν αὖθις ἐκβοᾷ! τίς σου αὕτη ἡ ξένη, φεῦ μοι ἀνάβασις!

Σοῦ καὶ τὴν σύλληψιν, καὶ Γέννησιν, προσκυνῶ Μαριὰμ, Εἴσοδον σὺν αὐτοῖς δὲ, πανευσεβῶς θεία Νεάνις τὴν Κοίμησιν, καὶ Μετάστασιν ἅμα, ὡς Παντοδύναμος.

Καταβασία. Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν

Ὠδὴ ε'. ὁ Εἱρμός.

»Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς, »συμπαθῶς γενομένης, Ἡσαΐας, Φῶς ἰδὼν ἀνέ»σπερον, ἐκ νυκτὸς ὀρθρίσας, ἐκραύγαζεν, «Ἀ»ναστήσονται, οἱ νεκροὶ καὶ ἐγερθήσονται, οἱ ἐν »τοῖς μνημείοις, καὶ πάντες οἱ γηγενεῖς ἀγαλ»λιάσονται.»

Νέαν καὶ πρόσφατον ὁδὸν, νεανικῶς, Νεάνις λαμπροτάτη, Ἀλειπτόρων, ἡ Τριάς σε ἔχθαμβος, νεομένην βλέπει κραυγάζουσα, «ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μνημείοις, καὶ πάντες οἱ ἐν τῇ Γῇ ἀγαλλιάσονται.»

Διὰ θανάτου τὸ θνητὸν, διὰ Ταφῆς τὸ φθαρτὸν μεταβάλλει, σοῦ ὁ Τόκος, θεοπρεπωδέστατα, ἱεροῦ σου σκήνους Μητρόθεε, καὶ μεθίστησιν ἐκ νεκρῶν, καὶ μετατίθησιν ἐν σκηναῖς ἁγίαις, ἅπερ ὁρῶντες ἡμᾶς ἀγαλλιώμεθα.

Ἐξ ἀλοχεύτου σου Γαστρὸς, ὑπερφυῶς Ἡσαΐας προέφη, Παναγία, Φῶς φωτὸς ἀπαύγασμα, τοῦ Θεοῦ Υἱὸς ὁ ὑπέρθεος, σαρκωθήσεσθαι, καὶ μενεῖς ἐν τῇ κυήσει σου, ὡς τοπρὶν Παρθένος, ἀλλ' αὖθις σ' οἱ εὐσεβεῖς Παρθένον σέβομεν.

Ὅλη ὑπάρχεις καθαρὰ, ὅλη καλὴ ἀψευδῶς καὶ ὡραῖα, καὶ Σπαρτίον ὡς τὸ κόκκινον χεῖλος σου, Εὐσεβῶν δ' ὡς λίμναι τὰ Ὄμματα, καὶ πανάμωμος Μαριὰμ, ὡς χαιρετίζει σε τὸ Ἆσμα τὸ θεῖον, καὶ σὺν αὐτῷ καὶ ἡμεῖς ἀγαλλιώμενοι.

Καταβασία. Θεοφανείας σου Χριστέ.

Ὠδὴ ϛ'. ὁ Εἱρμός.

«Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη, στέρνοις »Κητώοις Ἰωνᾶς, σοῦ γὰρ τὸν τυπον φέρων, τοῦ »παθόντος καὶ Ταφῇ δοθέντος, ὡς ἐκ θαλάμου »τοῦ θηρὸς ἀνέθορε, προσεφώνει δὲ τῇ Κουστω»δίᾳ, οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον »αὐτοῖς ἐγκαταλίπατε.

Ἀνεκάμφθης, πρὸς παλινζωΐαν, ὄντως ἀγήρω καὶ λαμπρὰν, εἰ καὶ τῷ νόμῳ Κόρη, τοῦ θανάτου τῇ Ταφῇ ἐδόθης, ὡς ἐκ θαλάμου μυστικοῦ τοῦ Μνήματος, θεονύμφευτε ζωῆς ἡ Μήτηρ, καὶ μεταβέβηκας χαίρουσα πρὸς Θεὸν, ἔλεον ἡμῖν ἐγκαταλίψασα.



Βροτοκτόνος ἁγνὴ καθωράθη, Ξύλου καρπὸς τοῦ ἐν Ἐδὲμ, σοῦ δὲ τὸ ξύλον φέρει, ζωοπάροχον καρπὸν Μαρία, ὁ θεῖος Λόγος, τὴν διττὴν ζωότητα, πάσης Κτίσεως Ἐδὲμ τιμία, δι' ὃ ὡς Ζωῆς οὖσα Μήτηρ παναληθὴς, ζώωσον ἡμᾶς παρακαλοῦμέν σε.

Βασιλεύεις, καὶ διαιωνίζεις, σὺν τῷ Υἱῷ σου ἀληθῶς. καὶ γὰρ καὶ φύσις αὐτη, καὶ οἱ νόμοι τὸ αὐτὸ καθόλου, προσαπαιτοῦσι, προφανῶς Κυρία μου, ὡς βασίλισσα παντὸς τοῦ Κοσμου, ὃν περ δὴ φρούρει καὶ φύλαττε ἀστρεβλῶς, ἔλεον αὐτῷ ἐγκαταλίπουσα.

Νεολαίαν, τὴν σὴν μὴ ἐλλίπῃς, σκέπουσα Κόρη Μαριὰμ, ἐχθροῦ ἐκ τῶν κινδυνων, ἀεννάως σὲ προσκαλουμένην. καὶ γὰρ ὡς θελεις, καὶ ἰσχύεις πάντεσιν, ὡς τὸ ἶσον θελειν καὶ ἰσχύειν, Θεὸν τεκοῦσα τὸν ἔχοντα ἀληθῶς, ἔλεον δι' ὃ αὐτῇ κατάλιπε.

Καταβασία. Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη

Συναπτὴ μικρὰ, καὶ ἐκφώνησις. «Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης.

καὶ εὐθὺς τὸ κοντάκιον, ἦχος πλ. β'.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις, ἀμετάθετον ἐλπίδα, Τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν. ὡς γὰρ ζωῆς μητέρα, πρὸς τὴν Ζωὴν μετέστησεν, ὁ Μήτραν οἰκήσας ἀειπάρθενον.

ὁ Οἶκος.

Ὁ συνέχων τὰ πάντα, ἐν τῇ σῇ συνεσχέθη νηδύϊ πανάχραντε, καὶ ἑκὼν ἐκ τῶν σῶν, βρεφουργεῖται πανάγνων Αἱμάτων καὶ πλάττεται, ὁ Πλάστης ἁπάσης τῆς ὁρωμένης καὶ νοουμένης Κτίσεως, ἵνα τοὺς τῇ δεινοῦ Ὄφεως ξυμβουλίᾳ κακίστῃ, φιλανθρώπως ἀναπλάσῃ καταφθαρέντας, καὶ εἰς τὸ ἀρχαῖον ἀνακαλέσῃ ἀξίωμα, ταύτῃ τοι καὶ πάθος φέρει καὶ θάνατον, καὶ Ταφὴν, ὁ τῇ αὐτοῦ θείᾳ φύσει ἀπαθὴς κομιδῇ καὶ ἀθάνατος, ἀλλ' ἐγερθεὶς ἐκ νεκρῶν τριημέρως καὶ συνεγείρας αὐτῷ τὸν Ἀδὰμ καὶ τοὺς ἐξ αὐτοῦ, καὶ τὸ πρῶτον ἐκεῖνο κάλλος αὐτοῖς δωρεὰν χαρισάμενος, ἀνελήφθη, ὁρώντων τῶν μαθητῶν, εἰς τοὺς Οὐρανούς. ὅθεν καὶ κατῆλθε, καὶ ἐκάθισεν, ἐν δεξιᾷ τοῦ θρόνου τῆς Μεγαλωσύνης, θεώσας, καὶ ἰσότιμον τὴν ἀπαφθαρτισθεῖσαν αὐτῷ θείαν Σάρκα, τῷ ἰδίῳ Πατρὶ ποιησάμενος, καὶ σὲ μετὰ τοῦτο, ὑπερθέῳ αὐτῷ ψήφῳ, νόμῳ θανοῦσαν φύσεως, πρὸς ἑαυτὸν μεταθέμενος (τῶν ἀπορρήτων, καὶ ὑπερφυσικῶν τερατουργημάτων!) ἐκ δεξιῶν ἑαυτοῦ, ἐν ἱματισμῷ διαχρύσῳ περιβε-



βλημένην, Δαβιτικῶς παρεστήσατο, ὡς οἶδεν, ὡς ἠθέλησε, καὶ ὡς ηὐδόκησεν, ὁ τὴν σὴν Μήτραν οἰκήσας τὴν ἀειπάρθενον.

» Ἡ Πανσέβαστος Κοίμησις, τῆς ὑπεραγίας, ἐνδόξου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν, θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

»Καὶ ζῇς; τί τοῦτο; θαῦμα θαυμάτων ξένων!
»Κόρη θανοῦσα, μακαρία Μαρία;.
»Ζῇ ἀεὶ θεομῆτορ, κἂν δεκάτῃ θάνε πέμπτῃ.

»Ταῖς τῆς σῆς Μαρίας πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ'. ὁ Εἱρμός.

»Ἄφραστον θαῦμα, ὁ ἐν Καμίνῳ ῥυσάμενος,
»τοὺς ὁσίους παῖδας ἐκ φλογός, ἐν τάφῳ νεκρὸς,
»ἄπνους κατατίθεται, εἰς σωτηρίαν, ἡμῶν τῶν
»μελῳδούντων, λυτρωτὰ, ὁ Θεὸς εὐλογητὸς εἶ.

Τέτρωται λύπῃ, σοῦ τῇ κηδείᾳ ὁ Δίδυμος, ὦ Παρθένε τότε μὴ παρὼν, καὶ σπεύδει σε κἂν, τῷ τάφῳ θεάσασθαι, ᾧ παρεγκύψας, βλέπει κεκενωμένον, ἐκβοῶν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὄλβιον Μνῆμα, Μνῆμα οὐκ ἔτι καλέσω σε, ἀποθήκην δ' ὄντως ἱερὰν, ἐν ᾗ ἐν βραχεῖ, τὸ ἀπειροτίμητον, τῶν ἐνεχύρων κρατεῖν κατηξιώθης, ἐκβοῶν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Νέα ὡς τόξα τῇ Ἐκκλησίᾳ κατέλιπες, σὺν Σινδόνι ζώνην ἱερὰν, καὶ Τύμβον τὸν σὸν, εἰς

περ διαλλάττεται, τοῖς ἑπτακόσιν, αὐτῷ ἐναπε-νίζων, σὸς Υἱὸς, Μαριὰμ εὐλογημένη.

Μόνη τὴν φύσιν, τὴν τῶν βροτῶν σὺ ἐζύμωσας, ὡς ἐν Σκάφῃ θείᾳ σου Γαστρὶ, Χωνείᾳ δ' εὐθὺς, Μήτρα σου ἐχώνευσας, περὶ τῷ θείῳ, αὐτὴν ὡς συντριβεῖσαν, ἀναπλάσασα, Μαριὰμ εὐλογημένη.

Καταβασία. «Ἄφραστον θαῦμα, ὁ ἐν Καμίνῳ ρυσάμενος.

Ὠδὴ ή. ὁ Εἱρμός.

«Ἔκστηθι φρίττων Οὐρανὲ, καὶ σαλευθήτω-»σαν, τὰ θεμέλια τῆς Γῆς, ἰδοὺ γὰρ ἐν νεκροῖς »λογίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμι-»κρῷ ξενοδοχεῖται, ὃν παῖδες Εὐλογεῖτε, ἱε-»ρεῖς ἀνυμνεῖτε, λαοὶ ὑπεριψοῦτε, εἰς πάντας »τοὺς αἰῶνας.

Λέλυσαι ἄχραντε δεσμῶν, καὶ ἠλευθέρωσαι, φυλακῆς τῆς σῆς Σαρκὸς. ἰδοὺ γὰρ Οὐρανοὺς ἀνίπτασαι, καὶ ἐν ὑψίστοις οἰκεῖς, κἂν τάφῳ σμικρῷ ὑπαναπαύῃ, ἣν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαὸς ὑπεριψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας..

Πέπαυται λύπη μαθηταὶ, χαρὰ ἀπάρχεται, χαρᾷ χαίρετε λοιπὸν. οὐδὲν γὰρ ὧν ὑμεῖς λογίζεσθε, εν τῇ Παρθένῳ ἐστὶν, κἂν Τάφῳ σμικρῷ ξενοδοχεῖται, ὃν παῖδες ἀνυμνοῦσιν, ἱερεῖς εὐλογοῦσιν, λαοὶ ὑπεριψοῦσιν, πισοὶ εἰς τοὺς αἰῶνας.

Ὢ τῶν θαυμάτων τῶν καινῶν! τί ἑωράκαμεν;



ποῦ ἀπαίρεις Μαριάμ; ἰδοὺ γὰρ ἐκενώθη ἄχραντε, τοῦ θείου σκήνους σου νῦν, ὁ τάφος πλὴν τῆς θείας σινδόνος, ἣν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαὸς ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Μόνη ὡράθης γενεῶν, ὑπερακήρατος καὶ ὑπέραγνος πασῶν, σεμνὴ παναληθῶς θεόνυμφε, ἐκλελεγμένη διὸ, ἐν μήτρᾳ θεός σου βρεφουργεῖται. ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαοὶ ὑπευρψοῦτε, πιστῶς εἰς τοὺς αἰῶνας.

Καταβασία. »Ἔκστηθι φρίττων Οὐρανὲ

Ὠδὴ θ'. ὁ Εἱρμός.

« Μὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τά-» φῳ, ὃν ἐν γαυρὶ ἄνευ σπορᾶς συνέλαβες Υἱὸν, » ἀναστήσομαι γὰρ, καὶ δοξασθήσομαι, καὶ » ὑψώσω ἐν δόξῃ ἀπαύστως ὡς Θεὸς, τοὺς ἐν » πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας ».

Ἐπὶ τῷ ξένῳ σου τόκῳ, τὰς ὀδύνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθης, Μῆτερ τοῦ Θεοῦ. μεταστᾶσα δὲ ὑπερδεδόξασαι, μακαρία ἐνδόξως ἐν πάσαις γενεαῖς, ὡς αὐτὴ ἔτι ζῶσα, φθᾶσα προείρηκας.

Γῆ σε καλύπτει Παρθένε, ἀλλὰ πύλας ἀνοίγει, σοὶ Οὐρανὸς καὶ ἐφαπλοῖ, παλάμας σὸς Υἱὸς, μεταστᾶσαν τῶόντι ὑποδεξόμενος, ὃ ὁρῶσαι ἐν τρόμῳ Ἀγγέλων στρατιαὶ, σὺν ἀνθρώποις ἀπαύστως, σὲ μακαρίζομεν.

Ἀγάλλου πᾶσα ἡ Κτίσις, καθορῶσα ἐν Τάφῳ, ἣν ἐν Γαστρὶ, ἄνευ σπορᾶς, συνέλαβε θεὸν, τὸν τῆς κτίσεως Κτίστην, καὶ πανηγύριζε. ἀναστήσει γὰρ ταύτην ἐνδόξως ὡς θεὸς, ὃν ἐν πίστει καὶ πόθῳ, νῦν μεγαλύνομεν.

Ἔγωγε πέλω Παρθένε, ὁ τὴν πᾶσαν τῳόντι, καὶ νοητὴν, καὶ αἰσθητὴν κακίαν ὑπερβάς ἀνθ' ὧν δέομαι σῶσόν με, δωρεάν σου καὶ δέξαι, τουτὶ τὸ τραύλισμα, τοῦ ἐν πίστει καὶ πόθῳ, σὲ μεγαλύναντος.

Καταβασία. «Μὴ ἐποδύρου μου Μῆτερ.»

Συναπτὴ μικρά· ἐκφών. Ὅτι σὲ αἰνοῦσι πᾶσαι.

Ἐξαποστ.

Ἀπόστολοι ἐκ περάτων, συναθρισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα, καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ Πνεῦμα.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους τέσσαρας, Ἦχος δ'.

Σήμερον συνέχει Τάφος.

Σήμερον συνέχει τάφος, τὸν συνοχέα τοῦ παντὸς τὴν τεκοῦσαν, καλύπτει λίθος, τὴν καλύψασαν ἀρετῇ τοὺς οὐρανούς; ὑπνοῖ ἡ μήτηρ τῆς ζωῆς, καὶ τὸ πᾶν τρέμει· ᾄδει ἐμφόβως ὕμνον ἐξόδιον, ἐν φωναῖς ἀσιγήτοις, τὰ οὐράνια τάγματα· οἷς καὶ αὐτοὶ, ᾠδικῶς συνεκβοῶμεν· δόξα παρθένε τῇ φυσιζώῳ, καὶ Παναγίᾳ Κοιμήσει σου, δι' ἧς τελέσασα πάντα, Σαββατισμὸν αἰώ-



νιον, ἐδωρήσω ἡμῖν, τὴν θεοείκελον ἐκ νεκρῶν σου ἀνάστασιν.

Ἦχος ὁ αὐτός.

Τί τὸ ὁρώμενον θέαμα; τίς ἡ παροῦσα ἐχεμυθία; ἡ βασίλισσα τῆς ὁρωμένης ἁπάσης, καὶ νοουμένης κτίσεως, ἐν τάφῳ νῦν ὑπνώττει, καινὸν ἡμῖν παρέχουσα ἀφυπνισμόν· αὐτῇ βοήσωμεν, ἀνάστα Παναγία, ὃν τρόπον ὁ υἱός σου, ἐκ τοῦ τάφου τριήμερος, συμβασιλεύουσα αὐτῷ, εἰς τοὺς αἰῶνας, καὶ παρέχουσα πᾶσιν, αὐτοῦ τὸ πλούσιον ἔλεος.

Ἦχος ὁ αὐτός.

Δεῦτε ἴδωμεν ἀδελφοὶ, τὴν τῆς τῶν ὄντων ἁπάντων ζωῆς μητέρα, ἐν τάφῳ νῦν κειμένην, καὶ ἐν νεκροῖς, τὴν τὸν τοὺς τάφους κενώσαντα θεὸν, ἀπειράνδρως ἀποτεκοῦσαν, καὶ πρὸς ἀγήρω παλινζωΐαν αὐτοὺς, παντοδυνάμῳ αὐτοῦ ἐξουσίᾳ, ἀνακαλεσάμενον· δεῦτε σήμερον, τὴν ἐξ Ἰούδα καὶ Ἰεσσαὶ ῥίζης ἀναφυεῖσαν, καὶ ὀσφύος Δαβιτικῆς ἐκβλαστήσασαν, προσκυνοῦντες, προφητικῶς ἐκβοήσωμεν· ἀναπεσοῦσα κεκοίμησαι Λεαίνης δίκην, τίς ἐγερεῖ σε, κραταιοτάτη Βασίλισσα; ἀλλ' ἀνάστηθι ἁγνὴ ὡς ὁ Υἱὸς σου, ἐκ τοῦ τάφου τριήμερος, βασιλεύουσα σὺν αὐτῷ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἦχος πλ. Β'.

Ἠτήσατο ὁ Θωμᾶς, τὸ σκῆνός σου κατιδεῖν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑ

ὅπερ ἀπέθεντο, ἐν τῷ Γεθσημανῆς μνημείῳ, οἱ συναπόστολοι αὐτοῦ, ᾧ καὶ ἐγκύψαντες ὁμόθυμαδὸν, ὡς κενὸν ἐθεάσαντο, συνῆκαν ὦ παρθένε, ὅτι ἀνέστης, καὶ μετέστης εἰς οὐρανοὺς, καθάπερ ὁ Υἱός σου, τριήμερος σύσσωμος, παρέχουσα πᾶσιν αὐτοῦ, τὸ πλούσιον ἔλεος.

Δόξα, καὶ νῦν Ἦχος ὁ αὐτός.

Τὴν σήμερον μυστικῶς, ὁ μέγας ψαλμῳδὸς, προδιετυποῦτο λέγον. «Ἀνάστηθι Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου. καὶ αὖθις, «Παρέστη λέγων, ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη, πεποικιλμένη. τοῦτο γὰρ ἐστὶν, εὐλογημένον Σάββατον, αὕτη ἐςὶ, καταπαύσεως θεία ἡμέρα, ἐν ᾗ κατέπαυσε τοῦ ζῆν, ἡ Μήτηρ τῆς ὄντως ζωῆς, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας, τῇ σαρκὶ Σαββατίσασα, καὶ μεταστᾶσα, καὶ εἰς Οὐρανοὺς ἀνεληλυθεῖα, δυνάμει τοῦ ἐξ αὐτῆς σαρκωθέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ σὺν αὐτῷ, εἰς αἰῶνας αἰώνων διαιωνίζουσα, καὶ παρέχουσα ἡμῖν ζωὴν αἰώνιον, τοῖς μετὰ πόθου τιμῶσι, τὴν ἱερὰν αὐτῆς Κοίμησιν.

Δοξολογία Μεγάλη. Εἶτα ἡ Λιτὴ, μεθ' ἣν, λέγει ὁ ἱερεὺς, τὸ, Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία· καὶ ἡμεῖς τὰ προδηλωθέντα Ἀπολυτίκια, τῆς θεοτόκου, τὸ,

Ὁ εὐσχήμων μαθητῶν. χορὸς νῦν.

Δόξα. Ὅτε κατῆλθες πρὸς τόν.

Καὶ νῦν, Τοῖς θυηπόλοις.



Καὶ γίνεται, συνήθως, ἡ ἱερὰ κατάθεσις, ὥς περ κἂν τῷ μεγάλῳ Σάββατῳ, ἀπαραλάκτως.

Μετὰ δὲ ταῦτα, λέγει ἐν τῷ μέσῳ ὁ Ἀναγνώστης, τὸ παρὸν τροπάριον, εἰς Ἦχον δ'.

Προκείμενον Ἦχος δ'.

Μητέρα σε ἐν παρθένοις, καὶ Παρθένον ἐν μητράσιν ἀμίαντον, πρὸ Τόκου, ἐν Τόκῳ καὶ μετὰ Τόκον δοξάζομεν Μητροπάρθενε, ἐν εἰλικρινεῖ καὶ ἀδιστάκτῳ πίςει τε, καὶ καρδίᾳ, μὴ ἐρευνῶντες καθόλου, τὸ, πῶς; καὶ γὰρ ὑπὲρ πῶς ἔνι, πάντα τὰ σὰ, ἀπειροχαρίτωτε μακαρία Μαρία. δώρησαι οὖν ἡμῖν, καὶ τὴν Πάντιμον σὺν αὐτοῖς τιμῶσί σου Κοίμησιν, παραπτωμάτων συγχώρησιν, ὡς φιλάγαθος.

Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου σύ.

Ὤμοσε Κύριος τῷ δαβὶδ ἀλήθειαν, καὶ οὐ μή.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

« Ἔσται, ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα, ποιή-
» σουσιν οἱ ἱερεῖς, ἐπὶ τὸ θυσιαστήριον, τὰ ὁλοκαυτώματα
» ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς,
» λέγει Κύριος Κύριος. καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς
» Πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνα-
» τολάς· καὶ αὕτη ἦν κεκλεισμένη, καὶ εἶπε Κύριος πρός με.
» Ἡ πύλη αὕτη, κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐ-
» δεὶς οὐ μὴ διέλθη δὶ αὐτῆς, ὅτι Κύριος ὁ θεὸς Ἰσραὴλ, εἰ-
» σελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη. δὶ ὅτι ὁ ἡγού-
» μενος οὗτος, κάθηται ἐπ' αὐτὴν, τοῦ φαγεῖν ἄρτον· κατὰ
» τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς Πύλης εἰσελεύσεται, καὶ κατὰ
» τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται· καὶ εἰσήγαγέ με κατὰ τὴν ὁ-
» δὸν τῆς Πύλης τῶν ἁγίων τῆς πρὸς βοῤῥὰν, κατέναντι
» τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης, ὁ οἶκος Κυρίου.

Καὶ εὐθὺς, προκείμενον Ἦχος γ'.

Ὠδὴ τῆς θεοτόκου.

ΑΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΤΟΡΗΣ ΠΑΠΑ...

Στίχοι.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν.

Πρὸς Φιλιππησίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ, εἶναι ἶσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι Ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς Ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν Γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός. Ἀμήν.

Ἀλληλούϊα, Ἦχος πλ. δ'.

Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.

Τὸ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν, μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ, καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου, καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου, καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου, ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν, τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαὶ, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, ἔμεινεν δὲ



Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ἐπέστρεψεν, εἰς τὸν οἶκον αὐτῆς.

Ἐκτενής. Εἴπωμεν πάντες. Πληρώσωμεν κτλ. ὡς ἔθος.

Μετὰ δὲ τὴν ἐκφώνησιν, ψάλλει, εἰ βούλεται, ὁ προεστὼς τὰ ἑπόμενα τροπάρια εἰς

ἦχος β'.» Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε, ἐκ τοῦ κόσμου ἡ ζωὴ, τὴν ζωὴν παντὸς ἡ τεκοῦσα, υἱὸν Θεοῦ ἐν σαρκὶ, ἤρθης ἀναβαίνουσα, πορείας θείας ἁγνὴ, Οὐρανοῦ μετ' ἐκπλήξεως, τὸ ἅγιον Πνεῦμα, τίς ἡ ἀναβαίνουσα, ἐκ τῆς ἐρήμου νυνί; αὕτη ἀνεκραύγαζε τότε, τὸ δὲ πᾶν σὺν φόβῳ ἐβόα, δόξα τῇ ἀνόδῳ σου φιλάγαθε.

» Ἀνάστηθι Κύριε.

Ὅτε ἐν τῷ Τάφῳ Μαριὰμ, τῆς Γεθσημανῆ κατετέθης, σαρκὶ φυσίζωε, τότε Κτίσις ἅπασα ἰδοῦσα σ' ἔπτηξεν, ὁ δὲ Κτίστης τὸ Πνεῦμά σου, τὰς χεῖρας ἁπλώσας, χάριεν ἐδέξατο, ὡς ὀφειλέτης Υἱὸς, ὅπερ Ἀσωμάτων αἱ τάξεις, βλέπουσαι σὺν φόβῳ ἐβόων, δόξα τῇ ἀνόδῳ σου φιλάγαθε.

» Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν.

Ὅτε ἱερέων ἡ Τριὰς, Ἀρειοπαγίτης ἐκεῖνος, καὶ Ἱερόθεος, σὺν Διονυσίῳ σου τὴν θείαν ἔμαθον, Πανακήρατε κοίμησιν, τότε δακρυρρόως, ταῦτα διεξίασι, πρός σὲ πῶς οἴσομεν, πάθος ἐν τῷ Κόσμῳ καὶ γὰρ σε, ὦ Παρθενικὴ τὸν Υἱόν σου, ᾧμεθα ὁρᾶν παρηγορούμενοι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...

» Ὤμοσε Κύριος τῷ Δαβίδ.

Ὅτε αἱ δυνάμεις Μαριὰμ, ὑπὸ τῶν Ἑβραίων ἑώρων, καθυβριζόμενον, τὸ ἀπειροτίμητον, καὶ θεῖον Σῶμά σου, τότε ξίφει ἀπέκοψαν, τὰς χεῖρας ἐκείνου, τοῦ τοῦ θείου σκίμποδος, ἐφαψαμένου οἰκτρῶς. τότε καὶ τυφλώσει τυφλῶττει, δίκη ἡ ἀόρατος Κόρη, πάντας τοὺς κενά σοι μελετήσαντας.

» Δόξα, καὶ νῦν, ἦχος πλ. ά.

Σὲ, τὸν ἀναβαλλόμενον, τὸ φῶς ὥσπερ ἱμάτιον, Υἱὸν Θεοῦ τὴν κυήσασαν, τὸ στῖφος τῶν μαθητῶν αὐτοῦ θεωρῆσαν νεκρὰν, καθηπλωμένην, ἐν σκότους ἐμπλέῳ Μνήματι, καὶ εὐσυμπάθητον θρῆνον ἀναλαβὸν, ὀδυρόμενον ἔλεγεν· οἴμοι! γλυκυτάτη Μαριὰμ, ἣν πρὸ μικροῦ ἐγὼ, εἶχον παρηγορίαν, καὶ ᾠόμην βλέπει σὲ, τὸν ἐμαυτοῦ διδάσκαλον θεᾶσθαι. ἀλλ' ἰδοὺ νῦν βλέπω σὲ, ὑπελθοῦσαν θάνατον τῷ τῆς φύσεως λόγῳ. ὢ! πῶς σὲ κηδεύσω Παρθένε; ἢ πῶς Σινδόσιν εἰλήσω; ποίαις χερσὶ δὲ προσψαύσω, τὸ σὸν ἀκήρατον Σῶμα; ἢ, ποῖα ᾄσματα μέλψω, σοῦ τῇ ἐξόδῳ οἰκεῖα; πῶς δὲ ὑποίσω Κυρία, σοῦ τὴν δεινὴν ἀπουσίαν; ἢ, πῶς ἀπόνως βαστάσω. τὴν πάνδεινον ὀρφανίαν; ἐπαπορῶ μακαρία, θεοκυήτωρ Μαρία! καὶ ἐνοδύνῳ καρδίᾳ, ὑφαίνω τὴν ὑμνῳδίαν. Μεγαλύνω σε Δέσποινα, ὑμνολογῶ τὴν σύλληψίν σου, γεραίρω σου, τὴν θείαν γέννησιν τιμῶ τὴν εἴσοδόν σου Κόρη, ἐκθειάζω δὲ τὴν Κοίμησίν σου, καὶ τὴν παναγίαν ταφήν σου, σὺν τῇ μεταστάσει κραυγάζων Κυρία δόξα σοι.

Καὶ τὰ λοιπὰ ὡσαύτως, καὶ γίνεται, συνήθως τελεία ἀπόλυσις.

Εἰ δὲ ἔστι Λειτουργία, μετὰ τὸ τέλος τοῦ παρόντος τροπαρίου, λέγε, τὸ Ἀπολυτίκιον, τὸ, ἐν τῇ γεννήσει, καὶ εὐθὺς, τὸ, Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός.

ΤΕΛΟΣ.

# ΟΙΚΟΙ ΚΑ'. ΕΙΣ ΘΕΟΤΟΚΟΝ. ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ.

Τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου

## ΜΑΡΙΑΣ.

Ἦχος πλ. Δ'. Πρὸς τὸ, Τῇ Ὑπερμάχῳ.

Τῆς ἀθανάτου σου Κοιμήσεως Πανάχραντε, τὴν Ἑορτὴν λαμπροφανῶς πανηγυρίζοντες, προσκομίζομεν τὸν ὕμνον σοὶ Θεοτόκε. Ἀλλ' ὡς οὖσα συμπαθείας μέγα πέλαγος, Δυσωπήθητι καὶ δοὺς πταισμάτων ἄφεσιν, τοῖς σοὶ κράζουσι, Χαῖρε Μῆτερ Ἀπείρανδρε.

Ἄγε δὴ τῶν Ἀγγέλων ὁ χορὸς ἐκ τῶν ἄνω Μαριὰμ τὴν Παρθένον ὑμνεῖτε (ἐκ. γ'.) Οἱ γὰρ πηλινόγλωσσοι ἡμεῖς οὐ δυνάμεθα τοῦτο ποιεῖν ἄνθρωποι, τῷ πόθῳ δὲ φλεγόμενοι βοᾶν ὡς ἐφικτὸν τολμῶμεν.

Χαῖρε δι' ἧς Οὐρανὸς ἠνοίγη.
χαῖρε δι' ἧς ὁ Σωτὴρ ἐφάνη.
χαῖρε τοῦ ἀοράτου Θεοῦ γεννήτρια.
χαῖρε τοῦ τῶν ὅλων Ποιητοῦ Λοχεύτρια.
χαῖρε θρόνων ὑπερέχουσα ἅμα καὶ ἐξουσιῶν.
χαῖρε μᾶλλον κυριεύουσα Κυριοτήτων αὐτῶν.
χαῖρε δυνατωτέρα τῶν δυνάμεων οὖσα.
χαῖρε τῶν Ἀρχαγγέλων, καὶ Ἀγγέλων κρατοῦσα.
χαῖρε τῶν ἀρχῶν λίαν ἐξάρχουσα.
χαῖρε πασῶν τάξεων προέχουσα.
χαῖρε τῶν Χερουβὶμ τιμιωτέρα.
χαῖρε τῶν Σεραφὶμ ἐνδοξοτέρα. χαῖρε Μῆτερ Ἀπείρανδρε.

Βρέφος μου χρηματίσας, καὶ Υἱός μου ὑπάρχων, Υἱὲ τοῦ Θεοῦ τοῦ Ὑψίστου, σὺ παράλαβέ μου τὴν ψυχὴν, ἐκ περάτων δὲ τοὺς Μαθητὰς ἄθροισον, ἐν μνήματι κηδεῦσαί με, καὶ ᾆσαι ἐξόδιον ὕμνον. Ἀλληλούϊα.

Γνόντες δι' ἣν αἰτίαν ἐκ περάτων τῆς γαίας, ἀρθέντες ὑπὸ νεφῶν οἱ Μύσται, συνήχθησαν ὁμοθυμαδὸν ἐν τῷ ἁγίῳ Οἴκῳ

τῷ σῷ Δέσποινα, ἐξίσταντο καὶ ἵσταντο κραυγάζοντες πρὸς σὲ τοιαῦτα.

Χαῖρε χαρᾶς τῆς ὄντως δοχεῖον.
χαῖρε πασῶν ἀρετῶν ταμεῖον.
χαῖρε Μαριὰμ προφητόφθεγκτον ἄκουσμα.
χαῖρε Ἰωακεὶμ καὶ Ἄννης τὸ βλάστημα.
χαῖρε, ὅτι σοῦ τὴν ἔνδοξον καὶ πανίερον ταφήν.
χαῖρε τάδε συναγήοχας ἡμᾶς πάντας κατιδεῖν.
χαῖρε ἡ μεταβῆναι τῶν γηΐνων μολοῦσα.
χαῖρε ἡ μεταστῆναι πρὸς Υἱόν σου ποθοῦσα.
χαῖρε δι' ἧς κατάρας ἐῤῥύσθημεν.
χαῖρε δι' ἧς Ἀγγέλων συνήφθημεν.
χαῖρε ἡμῶν ἀποστολῆς αἰτία.
χαῖρε πιστῶν πρὸς Θεὸν μεσιτεία. χαῖρε Μῆτερ Ἀπείρανδρε.

Δύναμις τοῦ Ὑψίστου, ὑπὲρ νοῦν τε καὶ λόγον, τοὺς θείους καὶ σοφοὺς Ἀποστόλους ἐκ περάτων τῆς γῆς διὰ νεφῶν εἰς χωρίον τὴν Γεθσημανῆ ἤγαγε, κηδεῦσαι σὲ τὴν Δέσποιναν, καὶ ᾆσαι λιγυρῶς τὸν ὕμνον. Ἀλληλούϊα.

Ἔφθασεν ἐπὶ τούτοις ὁ θεσπέσιος Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς δι' ἀέρος, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ τὴν Παρθένον ἐξόχως ὑμνεῖν ἤρξατο, ἀῤῥήτως ἐξιστάμενος, καὶ φάσκων πρὸς αὐτὴν τοιαῦτα·

Χαῖρε Πανάχραντε Θεοτόκε.
χαῖρε ἁγία Ἁγνὴ Παρθένε.
χαῖρε τοῦ ἐμοῦ κηρύγματος ὑπόθεσις.
χαῖρε τῶν ἐμῶν περιόδων διεύθυνσις.
χαῖρε ὅτι σὲ θεώμενος, ἐθεώρουν σὸν Υἱὸν.
χαῖρε, ὅτι ἐν προσώπῳ σου, προσεκύνουν τὸν Χριστόν.
χαῖρε δι' ἧς τὰ ἔθνη, πρὸς Θεὸν ἐπιστρέφω.
χαῖρε δι' ἧς τοῖς πᾶσιν, ἐπιστέλλω καὶ γράφω.
χαῖρε τῶν ἐμῶν πόνων ἀνάπαυλα.
χοῖρε τῶν ἐμῶν δεσμῶν ἀπάλλαγμα.
χαῖρε ἡ τῆς ἀληθοῦς ζωῆς Μήτηρ.
χαῖρε ἣν ὁ τάφος βραχεῖ συνέξει. χαῖρε Μῆτερ Ἀπείρανδρε.

Ζήσασα θεαρέστως, πρὸς ζωὴν μετετέθης τὴν κρείττονα, ἀληθῆ καὶ ἀγήρω· τὴν γὰρ ἐνυπόστατον ζωήν, τὴν ζωοποιοῦσαν τὰς ζωάς, τέτοκας, Χριστὸν τὸν παρεχόμενον ἄληκτον ζωὴν τοῖς βοῶσιν. Ἀλληλούϊα.



Ἠγέρθης μετὰ πότμον, ἀναστᾶσα ἐνδόξως τριήμερος, ὥσπερ ὁ Υἱός σου, καὶ ἀνῆλθες εἰς τοὺς οὐρανοὺς μετὰ δόξης καὶ τιμῆς πολλῆς σύσσωμος, Θωμᾶς δὲ ὑπαντήσας σοι, ἐβόα σὺν χαρᾷ καὶ πόθῳ.

Χαῖρε δι' ἧς μαθητὴς πιστοῦται,
χαῖρε δι' ἧς ἀπιστίας λυτροῦται.
Χαῖρε λογισμῶν ἀμφιβόλων διώκτρια.
χαῖρε εὐσεβῶν φρονημάτων γεννήτρια.
χαῖρε ἣν ἐγὼ ὑπήντησα ἐν ἀέρι τηλαυγῶς.
χαῖρε ἣν ἐγὼ ἐπέγνωκα ἐκ τῆς δόξης προφανῶς.
χαῖρε ἧς περ τὴν χάριν εἰς τὰ ἔθνη κηρύξω.
Χαῖρε ἧς περ τὴν Ζώνην τοῖς ἐν κόσμῳ κομίσω.
Χαῖρε ἡ ἐμὲ χαροποιήσασα.
χαῖρε ἐμὴν κατήφειαν λύσασα.
χαῖρε ἡ νεκροπρεπῶς κηδευθεῖσα.
Χαῖρε ἡ Θεοπρεπῶς ἐγερθεῖσα. Χαῖρε Μῆτερ Ἀπείρανδρε.

Θεοδόχον σου σκῆνος, θεοκτόνων τὸ σμῆνος, ὁρῶν ἐκφερόμενον ἐνδόξως, φρυαττόμενον μανιωδῶς, θεομάχους χεῖρας κατ' αὐτοῦ ὥπλιζεν. Ἀλλ' ἔτισε τῆς ὕβρεως δίκας, ὡς μὴ γινώσκων ψάλλειν. Ἀλληλούϊα.

Ἴωμεν μετὰ πόθου, ὦ Θεόφρονες, πάντες σπουδῇ εἰς Γεθσημανῆ χωρίον, ὀψόμενοι τάφον νοητῶς, ᾧ σῶμα Θεομητορικὸν τέθαπται, Τὰ χείλη δὲ καὶ ὄμματα προσψαύοντες αὐτῷ βοῶμεν.

Χαῖρε Μητρὸς τοῦ Ὑψίστου τάφε.
χαῖρε νεκρᾶς τριημέρου τύμβε,
χαῖρε ὁ κενὸς μετὰ τρίτην φαινόμενος.
χαῖρε ὁ ἐκτὸς σώματος προσκυνούμενος.
χαῖρε, ὅτι τὴν Πανάχραντον ὑποδέδεξαι ἐν σοί.
χαῖρε, ὅτι τὴν Πανύμνητον περιέσχες ἐν βραχεῖ.
χαῖρε τὰ δευτερεῖα φέρων ἁγίου Τάφου.
χαῖρε ὁ τὰ σημεῖα εὐμοιρήσας τἀκείνου.
χαῖρε ἐν ᾧ ἡ Θεόπαις τέθειται.
χαῖρε ἀφ' οὗ ἡ αὐτὴ ἐγήγερται.

χαῖρε σὲ γὰρ δι' αὐτὴν προσκυνοῦμεν.
χαῖρε πάντες πρὸς αὐτὴν ἐκφωνοῦμεν, χαῖρε Μῆτερ Ἀπείρανδρε.

Κήρυκες θεοφόροι ὦ Ἀπόστολοι Θεῖοι, ὀπαδοὶ φοιτηταὶ τοῦ Υἱοῦ μου, ἐκ περάτων τῆς γῆς αὔθωρον εἰς χωρίον τὴν Γεθσημανῆ σπεύσαντες, κηδεύσατε τὸ σῶμά μου νεκροπρεπῶς ᾄδοντες ὕμνον. Ἀλληλούϊα.

Λόγοις ὑπερκοσμίοις Διονύσιος, ἅμα ἐγέγαιρε σὺν Ἱεροθέῳ τὴν ἄχραντον Μητέρα Θεοῦ τὰ λοίσθια ἀνθρωποπρεπῶς πνέουσαν, Θεόληπτοι δεικνύμενοι, καὶ ἐνθεαστικῶς βοῶντες.
Χαῖρε ἡ ὄντως κρυφιομύστης.
χαῖρε ἐφ' ἣν ἵδρυται ἡ Πίστις.
χαῖρε τῆς ζωαρχικῆς Τριάδος ἔποψις.
χαῖρε τῶν θείων ὀνομάτων ἀνάπτυξις.
χαῖρε πέλαγος ἀόριστον (Θεολογίας φημί).
χαῖρε θάλασσαν ἀπέραντον ἡ διδάξασα προσπλεῖν.
χαῖρε Ταξιαρχίας σύνθημα τῆς ἄνω.
χαῖρε Ἱεραρχίας ὕμνημα τῆς κάτω.
χαῖρε μυστηρίων ἀποκάλυψις.
χαῖρε ἀποῤῥήτων διασάφησις.
χαῖρε δι' ἧς οἱ νόες ἀνυψοῦνται.
χαῖρε δι' ἧς πρὸς Θεὸν ἀφικνοῦνται. χαῖρε Μῆτερ Ἀπείρανδρε.

Μὴ φίλοι τοῦ Υἱοῦ μου, μὴ ποιήσητε πένθους ἡμέραν τῆς Μεταστάσεώς μου, Μεμνημένοι δ' ὡς εἶπον ὑμῖν, οὐκ ἐάσω ὑμᾶς ὀρφανοὺς πώποτε, τὴν λύπην ἀπωσάμενοι, διδάξατε τα ἔθνη λέγειν· Ἀλληλούϊα.

Νέα τὴν ἡλικίαν, κομιδῇ τε ἀκμαία, καὶ γήρατος δεινοῖς πρὶν ἐγκῦψαι, μετεπέμφθης πρὸς τοῦ σοῦ Υἱοῦ εἰς Βασίλεια τῶν Οὐρανῶν Δέσποινα, αὐτῷ δὲ συμβασιλεύουσα περισώζεις τοὺς σοὶ βοῶντας,

Χαῖρε Παρθένε ἡ βρεφοτρόφος.
χαῖρε νηπίων νηπιοτρόφος.
χαῖρε τῶν καμνόντων παιδίων περίθαλψις.
χαῖρε τῶν ἐφήβων ὡσαύτως ἀνάπτυξις.
χαῖρε κάλλος παρθενεύοντος σώματος πανευπρεπές.
χαῖρε ἄνθος τῆς νεότητος ἡ τηροῦσα ἀσινές.



χαῖρε ἀνδρῶν τελείων συντηροῦσα δυνάμεις.
χαῖρε γυναικῶν αὖθις κατευθύνουσα πράξεις.
χαῖρε λαμπρὰ προμήθεια πένητος
χαῖρε στεῤῥὰ βακτηρία γήρατος.
χαῖρε καλὴ γηροτρόφε πρεσβύτου,
χαῖρε κοινὴ προςασία τοῦ κόσμου. Χαῖρε Μῆτερ Ἀπείρανδρε.

Ξύμπαντες οἱ Θεόπται ἐφεστήκεισαν τότε, ἡνίκα πρὸς Θεὸν ἐξεδήμεις, καὶ σὺν Τιμοθέῳ τῷ σοφῷ, δύο Ἱεράρχαι Ἀθηνῶν Ἄχραντε, τὰ θεῖα μεγαλεῖά σου θαυμάζοντες, καὶ ἐκβοῶντες.

Ἀλληλούϊα.

Ὅλος ὁ ἐν τοῖς κόλποις καθεζόμενος Λόγος Ἀνάχου Πατρὸς, ἀνεκφοιτήτως κατελήλυθεν ὅλος ἐν γῇ τὴν τῆς Μητρὸς ἁγίαν ψυχὴν λήψεσθαι, Ἀγγέλων, Ἀρχαγγέλων τε δωρυφορούντων καὶ λεγόντων.
Χαῖρε ἡ Βασιλὶς καὶ Κυρία.
χαῖρε ἡ Θεοτόκος Μαρία.
χαῖρε τῷ Θεῷ ἡμῶν σάρκα δανείσασα.
χαῖρε τὸν Ποιητὴν Γαλακτοκροφήσασα.
χαῖρε ὄνομα σεβάσμιον καὶ Ἀγγέλοις καὶ βροτοῖς.
χαῖρε θέαμα ἐξαίρετον Οὐρανοῦ τε, καὶ τῆς Γῆς.
χαῖρε ἡ οἰκοῦσα ἐν Οὐρανῷ ἐμπυρίνῳ.
χαῖρε ἡ παρεστῶσα τοῦ Θεοῦ ἐν τῷ Θρόνῳ·
χαῖρε Οὐρανίων ὑπερέχουσα.
χαῖρε τῶν ἐπιγείων δεσπόζουσα·
χαῖρε μετὰ Θεὸν λατρευομένη.
χαῖρε σὺν τῷ Υἱῷ προσκυνουμένη. χαῖρε Μῆτερ ἀπείρανδρε.

Πέτρος ὁ Κορυφαῖος, Ἀποστόλων ἀκρότης, μεγίστης ἀθυμίας ἐπλήσθη, ἡπλωμένην ἰδὼν σε νεκρὰν, ἐμπόνως δακρύων ἐπὶ σοὶ ἔστενε, καὶ πρώτιστος ἀπήρξατο τῶν ἐξοδίων ὕμνων ᾄδων. Ἀλληλούϊα.

Ῥήμασι Θεοφθέγκτοις, Θεολόγος ὁ Μέγας, ὁ θεῖος μαθητὴς Ἰωάννης, ἐδεξιοῦτο Μητέρα τὴν ἑαυτοῦ ἀπαίρειν πρὸς τὰς ἄνω σκηνὰς μέλλουσαν, πυκνῶς κατασπαζόμενος, Υἱοπρεπῶς τε ἀνακράζων·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠ...

Χαῖρε Πατρὸς τοῦ Ἀνάρχου Νύμφη
χαῖρε Υἱοῦ Συνανάρχου Μήτηρ.
χαῖρε Μαθητοῦ ἠγαπημένου καύχημα.
χαῖρε φοιτητοῦ ἐπιστηθίου σέμνωμα.
χαῖρε ἣν ἐγὼ παρέλαβον τότε ἀπὸ τοῦ Σταυροῦ.
χαῖρε ἣν ἐγὼ ἐφύλαξα ὥσπερ κόρην ὀφθαλμοῦ.
χαῖρε ἡ ἐν Κρανίῳ Μαθητῇ δωρηθεῖσα.
χαῖρε ἡ ἐν τῷ οἴκῳ τῷ ἐμῷ οἰκισθεῖσα,
χαῖρε Θεοῦ Μήτηρ Ἀειπάρθενος.
χαῖρε κἀμοῦ Μήτηρ Θεοδώρητος.
χαῖρε ἡ Μήτηρ πάντων πιστευόντων.
χαῖρε ἡ σκέπη πάντων τῶν βοώντων. χαῖρε Μῆτερ Ἀπείρανδρε.

Σύστειλόν μου τὸ σῶμα, ὦ υἱὲ Ἰωάννη, ἐν τάφῳ Μητροπρεπῶς, ὡς οἶδας· ὥσπερ δὲ ἤνεγκας καρτερῶς, ὅτε ἐν τῷ τάφῳ τῷ καινῷ ἐτέθειτο ὁ σὸς καλὸς διδάσκαλος, οὕτω τέτλαθι καὶ νῦν λέγων· Ἀλληλούϊα.

Τύπος ἦν τῆς σῆς δόξης τὸ σημεῖον, ὦ Μῆτερ, ὃ εἶδον τρανῶς ἐν τῇ Ἀποκαλύψει· καὶ γὰρ ὤφθης μοι τότε Γυνὴ ἐνδεδυμένη τὸν νοητὸν Ἥλιον, τοὺς πάντας κραυγάζοντας καὶ συνετίζοντας βοᾶν σοι.
Χαῖρε λαμπρῶς ἡ ἐστολισμένη.
χαῖρε φαιδρῶς ἡ κεκοσμημένη.
χαῖρε ἡ περιβεβλημένη τὸν Κύριον.
χαῖρε ἡ πεποικιλμένη αὐτοῦ ἐνώπιον.
χαῖρε στέφος δωδεκάαστρον φέρουσα ἐν κεφαλῇ.
χαῖραι δίσκον τὸν σελήνιον ἔχουσα ἐν τοῖς ποσί.
χαῖρε Χριστὸν ἰδοῦσα ὑπεράνω σου πάλιν.
χαῖρε καταπατοῦσα τῆς ἀπάτης τὴν πλάνην.
χαῖρε ἰδοὺ ἀστέρες οἱ δώδεκα.
χαῖρε ἰδοὺ ἀσπασμὸν σοὶ δῶκαν.



χαῖρε τῶν Χριστιανῶν Μήτηρ.
χαῖρε Ἰωάννου Μαθητοῦ Μήτηρ. χαῖρε Μῆτερ Ἀπείρανδρε.

Ὕμνους ᾖδον οἱ νόες φλογερῶν τῶν στομάτων, συμψάλλοντες σεπτοῖς Ἀποστόλοις, καὶ τάφῳ φερόμενον νεκρὸν σῶμα τὸ Θεομητορικὸν προὔπεμπον, τιμὴν αὐτῷ ποιούμενοι, καὶ φθεγγόμενοι, μετὰ δέους. Ἀλληλούϊα.

Φέροντες οἱ Θεόπται τὸ κλινίδιον, Κόρη, ἐν ᾧ τὸ Θεοδόχον σου σκῆνος, λύπης καὶ ἀθυμίας μεστοί, ἠρέμα λίαν καὶ ἡσυχῇ ὥδευον, τὰ Θεῖα καὶ ἐξαίσια ἀνυμνοῦντες μυστήρια.
Χαῖρε δι' ἧς ὁ Θεὸς ἐσαρκώθη.
χαῖρε δι' ἧς ὁ Σατᾶν ἐτροπώθη.
χαῖρε Μυστηρίου ἀρχαίου φανέρωσις.
χαῖρε ἀπ' αἰῶνος κεκρυμμένου δήλωσις.
χαῖρε ἣ περ καθυπέκλιναν δένδρα κορυφαὶ αὐτῶν.
χαῖρε ἣν περ προσεκύνησαν ἐν τῷ Ὄρει Ἐλαιῶν.
χαῖρε ἡ δι' Ἀγγέλου εἰς τὰ ἄνω κληθεῖσα.
χαῖρε διὰ σημείου φοίνικος πιστωθεῖσα.
χαῖρε πρὸς τὸν Υἱὸν ἐνδημήσασα.
χαῖρε ἐν Παραδείσῳ σκηνώσασα.
χαῖρε ἐκ γῆς πρὸς Οὐρανὸν ἀρθεῖσα,
χαῖρε ἡμᾶς ὀρφανοὺς μὴ ἀφῆσα. χαῖρε Μῆτερ ἀπείρανδρε.

Χεῖράς σου Παναχράντους, καὶ παλάμας ἀμώμους ὑψώσασα, Ἁγνή, πρὸς Υἱόν σου, μητρικῶς ἀνεβόας αὐτῷ, οὕς μοι ἐκτήσω διηνεκῶς φύλαττε, ᾠδήν σοι τὴν Οὐράνιον τῷ Δημιουργῷ προσφωνοῦντας, Ἀλληλούϊα.

Ψαῦσαι τις μὴ τολμήσῃ ἀμυήτων χεὶρ ταύτης τῆς Θείας Κιβωτοῦ ὡς ἐμψύχου, μόνα δὲ τὰ χείλη τῶν πιστῶν κινείσθωσαν ἐπὶ τὸν αὐτῆς ἔπαινον, φωνήν τε τὴν χαρμόσυνον μελπέτωσαν τὴν τοῦ Ἀγγέλου.
Χαῖρε ἡ πύλη τοῦ Παραδείσου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

χαῖρε ἡ κλεὶς χλοεροῦ χωρίου.
χαῖρε ἀπροσίτῳ φωτὶ σελαγίζουσα.
χαῖραι τὰς ψυχὰς πάντων περιαυγάζουσα.
χαῖρε ὅτι σὺ ἐφώτισας τοὺς τῶν ὕμνων ποιητάς.
χαῖρε ἣν ἐδοξολόγησαν, Ἰωάννης, καὶ Κοσμᾶς.
χαῖρε ἡ Θεοδώρου, καὶ Θεοφάνους νάβλα.
χαῖρε Ἰωσὴφ καὶ Ῥωμανοῦ Κιθάρα.
χαῖρε Δαμασκηνοῦ χειρὸς ἴασις.
χαῖρε παντὸς πάθους ἀνακούφισις.
χαῖρε δὴ Κόρη! καὶ δῶς ὃ αἰτήσω.
χαῖρε Μαρία ἵν εἰπὼν ἐκψύξω. χαῖρε Μῆτερ Ἀπειράνδρε.

Ὦ πάσης εὐφημίας ὑπερέκεινα Μῆτερ, παντὸς ἐγκωμίου ἀνωτέρα, Ἣν περ οὐδὲ νοῦς Ἀγγελικὸς, σχολῇ γε Ἀνθρώπειος ἐπαινεῖν δύναται!, τὸ πρόθυμόν μου πρόσδεξαι, καὶ ἐλέησον, ὅπως ψάλλω. Ἀλληλούϊα.

ΤΕΛΟΣ.

---

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΕΡΜΑΝΟΥ,

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Ἐγκώμιον εἰς τὴν Ὑπεραγίαν Θεοτόκον ῥηθὲν

ἐν τῇ Κοιμήσει αὐτῆς.

Παυσάσθωσαν τῶν αἱρετικῶν οἱ ἀμαθεῖς καὶ ἐμβρόντητοι λόγοι· ἐμφραττέσθωσαν τὰ τούτων ἄδικα χείλη· ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Θεοτόκε, καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες μεγαλύνειν κατὰ χρέος τὸ ὄνομά σου, ὅτι ςόμα τῶν Χριστιανῶν μελετήσει τὴν δικαιοσύνην σου καὶ τὴν παρθενίαν σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινον τῆς ἁγιωσύνης τοῦ τόκου σου· εἶδον οἱ πτωχοὶ τὸν διὰ σοῦ τῆς χρηστότητος τοῦ Θεοῦ πλοῦτον· εἶδον καὶ εἶπον· τοῦ «ἐλέους Κυρίου πλήρης ἡ γῆ·» ἐξεζήτησαν οἱ ἁμαρτωλοὶ διὰ σοῦ τὸν Θεὸν, καὶ ἐσώθησαν· εἶπον καὶ αὐτοί· εἰμὴ ὅτι Κύριος ἐβοήθησεν ἡμῖν ἐκ Παρθένου σαρκωθεὶς, παρὰ βραχὺ παρῴκησαν ἂν ἐν τῷ παμφάγῳ τῆς ἀπονεκρώσεως ᾄδῃ τῶν ψυχῶν ἡμῶν αἱ καταδύσεις. δυνατὴ τοιγαροῦν πρὸς σωτηρίαν ἡ βοήθειά σου Θεοτόκε, καὶ μὴ χρῄζουσα τινὸς ἑτέρου πρὸς τὸν Θεὸν παραθέτου. σὺ γὰρ εἶ τῆς ὄντως ἀληθινῆς ζωῆς ἡ Μήτηρ. σὺ εἶ τῆς ἀναπλάσεως τοῦ Ἀδὰμ ἡ ζύμη· σὺ εἶ τῶν ὀνειδισμῶν τῆς Εὔας ἡ ἐλευθερία. ἐκείνη μήτηρ χοὸς, σὺ μήτηρ φωτός· ἐκείνης ἡ μήτρα μήτηρ φθορᾶς, ἡ δὲ σὺ γαστὴρ ἀφθαρσίας· ἐκείνη θανάτου κατοίκησις, σὺ μετάστασις ἀπὸ θανάτου· ἐκείνη βλεφάρων καταχθονισμὸς, σὺ γρηγορούντων ὀφθαλμῶν ἀκοίμη-

τος δόξα· ἐκείνης τὰ τέκνα λύπη, ὁ δὲ σὸς Υἱὸς παγγενὴς
χαρά· ἐκείνη ὡς γῆ οὖσα εἰς γῆν παρῆλθε, σὺ δὲ ζωὴν ἡμῖν
ἔτεκες, καὶ πρὸς τὴν ζωὴν ἐπανῆλθες, καὶ ζωὴν τοῖς ἀνθρώ-
ποις, καὶ μετὰ θάνατον προξενεῖν κατίσχυσας· οὐκ ἔστι τῆς
ἀντιλήψεώς σου κόρος, οὐδὲ τῆς ζωοκοιμήτου σου μεταθέσεως
ἐπιζήμιος, ὡς εἰπεῖν, ὑποτρέχουσα τοῖς ἀνθρώποις ἡ αἴσθη-
σις· διότι καὶ ἡ προστασία σου ζῶσα, καὶ ἡ πρεσβεία σου ζωὴ,
καὶ ἡ σκέπη σου διηνεκής· εἰ μὴ γὰρ σὺ προηγοῦ, οὐδεὶς
πνευματικὸς ἀπετελεῖτο· οὐδεὶς ἐν Πνεύματι τὸν Θεὸν προσε-
κύνει. τότε γὰρ πνευματικὸς ὁ ἄνθρωπος, ὅτε σὺ Θεοτόκε,
Πνεύματος Ἁγίου κατοικητήριον ἐγένου. οὐδεὶς θεογνωσίας
ἀνάμεστος, εἰμὴ διὰ σοῦ, Παναγία· οὐδεὶς ὁ σωζόμενος, εἰμὴ
διὰ σοῦ, Θεοτόκε· οὐδεὶς κινδυνεύων ἐλεύθερος, εἰμὴ διὰ σοῦ,
Παρθενομήτωρ. οὐδεὶς ὁ ἐλεούμενος δωρεὰν, εἰ μὴ διὰ σοῦ,
θεοχώρητε· τίς γὰρ τῶν ἁμαρτωλῶν ἐπὶ τοσοῦτον ὑπερμαχεῖ;
τίς τῶν ἀδιορθώτων κατὰ τοσοῦτον ἀντιφωνητικῶς ὑπεραπο-
λογεῖται; πᾶς γὰρ τῶν δυναμένων ἔθ' ὅτε καὶ βοηθεῖν, τῆς
παραβολικῆς συκῆς τὴν ἐκτομὴν ἐν ἡμῖν εὐλαβούμενος, ἀνε-
βάλλετο ἂν τὴν ὑπὲρ ἡμῶν ἱκεσίαν τῷ Θεῷ προσαναπέμψαι,
ἵνα μὴ τῆς ἀποφάσεως διὰ τὸ ἄκαρπον τῆς ὑποσχέσεως
δοθείσης, ἄδεκτος ἡ ἀντιφώνησις ὠφθῇ, σὺ δὲ μητρῴαν ἔ-
χουσα πρὸς τὸν Θεὸν τὴν ἰσχὺν, καὶ τοῖς καθυπεροχὴν ἁ-
μαρτάνουσι, καθ' ὑπερβολὴν τὴν συγχώρησιν ἐξανύεις. οὐδὲ
γὰρ ἐνδέχεταί σε ποτὲ παρακουσθῆναι, ἐπειδὴ πειθαρχεῖσοι κα-
τὰ πάντα, καὶ διὰ πάντα, καὶ ἐν πᾶσιν ὁ Θεὸς, ὡς ἀληθινῇ
αὐτοῦ καὶ ἀχράντῳ μητρί· ὅθεν ὁ θλιβόμενος εὐλόγως πρὸς
σὲ καταφεύγει· ὁ ἀσθενῶν προσκολλᾶται· ὁ πολεμούμενος σὲ
τοῖς ἐχθροῖς ἀνθοπλίζει· «θυμὸν, καὶ ὀργὴν, καὶ θλίψιν ἀποσο-
λὴν δι' Ἀγγέλων πονηρῶν» σὺ μεταβάλλεις· ἀπειλὴν δικαίαν
καὶ ψῆφον ἀξιοπαθοῦς καταδίκης σὺ μεταστρέφεις, ἀγαπῶσα
μεγάλως τὸν ἐπικεκλημένον τῷ ὀνόματι τοῦ Υἱοῦ σου λαόν·



ὅθεν καὶ ὁ Χριστιανὸς λαός σου τὰ καθ' ἑαυτὸν ἀνακρίνων,
πρὸς μὲν τὸν Θεὸν ὑποςέλλεται, σὸς δὲ παῤῥησιαστικῶς τὰς
δεήσεις προσφέρει· σὲ γὰρ δυσωπεῖν ἀνενδοιάστως διὰ τὴν
πεῖραν, καὶ τὰ πλήθη τῶν εἰς ἡμᾶς ἀγαθῶν σου, καὶ παρα-
βιάσασθαί σε πολλάκις ἐν ἱκεσίαις πεπίστευκε· ἀνθ' ὧν τίς σε
μὴ μακαρίσει τὴν τῶν Ἀγγέλων ὑπὲρ ἔννοιαν θεωρίαν; τὴν
τῶν ἀνθρώπων ὑπέρξενον ἐπιτυχίαν; τὴν ὑπόληψιν τῶν χρι-
στιανῶν; τὸ ὀχλούμενον τῶν ἁμαρτωλῶν προσφύγιον; τὴν
καθ' ὥραν ἐν τῷ στόματι τῶν χριστιανῶν φερομένην; μόνον
γὰρ εἰ θροηθῇ χριστιανὸς, εἰ καὶ πρὸς λίθον τὸν ἑαυτοῦ προσ-
κόψῃ πόδα, τὸ σὸν ἐπικαλεῖται πρὸς βοήθειαν ὄνομα· σὲ
τοιγαροῦν τίς δοξάζων, ἀπαύστως οὐ μὴ δοξάσει; δοξάζειν
σε μᾶλλον ἐπιθυμεῖ, ἐὰν καὶ ἀκόρως ἐνάρξηται. ἀδύνατον γὰρ
ἐπαξίως ὑμνῆσαί σε. τὸ δια παντὸς μεγαλύνειν σε ποθεῖ, διὰ
τοῦ διηνεκῶς δοξολογεῖν σε, παραψυχὴν τοῦ χρέους ἀπολαμ-
βάνων, ἐπὰν γὰρ πολλὰ χρεωστῶν, οὐδὲν ἀνταπωδίδοσί σοι,
πληθύνει τὴν εὐχαριστίαν ὡς ἐν ἀρχῇ, καὶ ταύτην ἀεὶ ὡς
ἀεὶ τὸ ἀγαθὸν ποιούσῃ προσάγει. σὲ τίς μὴ θαυμάσει τὴν ἀ-
μετάθετον σκέπην, τὴν ἀμετάστατον καταφυγὴν, τὴν ἀκοί-
μητον πρεσβείαν, τὴν ἀδιάλειπτον σωτηρίαν, τὸ ἀπόρθητον
τεῖχος, τὸν θησαυρὸν τῶν ἀπολαύσεων, τὸν ἀνέγκλητον Πα-
ράδεισον, τὸ ἀσφαλὲς ὀχύρωμα, τὸ κραταιὸν περιχαράκωμα, τὸν
ἰσχυρὸν τῆς ἀντιλήψεως πύργον, τὸν λιμένα τῶν χειμαζομένων,
τὴν γαλήνην τῶν τεταραγμένων, τὴν τῶν ἁμαρτωλῶν ἐγγυη-
τὴν, τὴν τῶν ἀπεγνωσμένων προσαγωγὴν, τὴν τῶν ἐξορισθέν-
των ἀνάληψιν, τὴν τῶν ἐκδιωχθέντων ὑποςροφὴν, τὴν τῶν ἀλ-
λοτριωθέντων οἰκείωσιν, τὴν τῶν κατακεκριμένων παράθεσιν, τὴν
τῶν κατηραμένων εὐλογίαν, τὴν δρόσον τῆς ψυχικῆς αὐχμηρίας,
τὴν σταγόνα τῆς ἐκτακείσης βοτάνης (τὰ γὰρ ὀστᾶ ἡμῶν,
ὡς γέγραπται, καθάπερ βοτάνη ἀνατελεῖ) τὴν τοῦ ἀμνοῦ
καὶ Ποιμένος μητέρα, καὶ παντων τῶν ἀγαθῶν γνωριζομέ-

νην πρόξενον; ὅσα τὰ σὰ, παράδοξα. ἀληθινὰ, δεδικαιωμέ-
να ἐπὶ τὸ αὐτὸ, ἐπιθυμητά τε πάντα, καὶ γλυκύτερα ὑπὲρ
μέλι καὶ κηρίον. καὶ γὰρ οἱ δοῦλοί σου ποθοῦμεν αὐτά. ἐν τῷ
ποθεῖν αὐτὰ, ἀντάμοιψις ἐκ σοῦ πολλή. τὰ ἐλέη σου τίς συ-
νήσει; ἀλλ' ἀρκεῖ σοι πρὸς ἔπαινον ἀξιάγαστε, τὸ μὴ εὐπο-
ρεῖν ἡμᾶς ἐγκωμιᾶσαι τὰ σά. ἔχεις ἐκ Θεοῦ τὸ μέγα πρὸς
θρίαμβον ὕψος· διότι λαὸς αὐτῷ χριστιανικὸν ἀπὸ σαρκὸς τῆς
τῆς σῆς συνεστήσω, καὶ τὸ ὁμογενές σου σύμμορφον τῆς
θείας αὐτοῦ καὶ ὁμοιωτικῆς εἰκόνος ἀπειργάσω· εὐλογημένον
τοίνυν διὰ τοῦτο τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. πρὸ τοῦ ἡλίου
τὸ φῶς σου· ὑπερτέρα πάσης τῆς κτίσεως ἡ τιμή σου· πρὸ
τῶν Ἀγγέλων ἡ ὑπεροχή σου· ὑψηλοτέρα σὺ τοῦ Οὐρανοῦ,
ἀλλὰ καὶ πλατυτέρα τοῦ Οὐρανοῦ τῶν Οὐρανῶν, καὶ τοῦ
γραφικῶς παρά τινος Ἁγίου ἀντιφερομένου ἑβδόμου ὀγδοώ-
τε ε, καὶ εἰ ἔστι τὶς ἕτερος, καὶ ὑπερέκεινα τούτου λέγειν, Οὐ-
ρανέ. εὐλογημένη σὺ ἐν γενεαῖς γενεῶν. ἀλλὰ καὶ εὐλογή-
θησαν ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. οὐδὲ γάρ ἐστι τόπος,
ἔνθα σὺ μὴ δοξάζῃ, οὐδὲ φυλὴ, ἐξ ἧς οὐκ ἐβλάστησαν διὰ
σοῦ καρποὶ τῷ Θεῷ· ὥστε καὶ τὰ μὴ ἐπεγνωκότα σε κατὰ τὸν
Κόσμον τοῦτον ἔθνη, καιρῷ δεκτῷ καὶ αὐτὰ μακαριοῦσί σε,
Παρθένε. ὅταν γὰρ ὁ ἐκ σοῦ γεννηθεὶς ἥξει κρῖναι τὴν οἰκου-
μένην ἐν δικαιοσύνῃ, ὄψονται, καὶ κόψονται οἱ μὴ Θεοτόκον
σε πιστῶς ὁμολογῆσαι θελήσαντες, καὶ τότε γνώσονται ποίου
θησαυροῦ ἑαυτοὺς κακοβούλως ἐζημίωσαν. ἀλλ' ἡμῖν τοῖς
Χριστιανοῖς, καὶ Χριστιανικῇ Θεοτόκον σεβομένοις σε Πίστει,
παράτεινον τῆς ἀμεταθέτου σου προστασίας τὸ ἔλεος. καὶ γὰρ
τὴν κοίμησίν σου Θεοτόκε, ζωὴν ἡγούμεθα δικαίως, καὶ σύ-
νοικόν σε πνευματικῶς ἔχειν πεπιστεύκαμεν. καὶ ὅταν θλίψις
ἐγγὺς, ζητοῦντές σε λυτρούμεθα. καὶ ὅταν πάλιν χαρᾶς και-
ρὸς, σὺ εἶ ταύτης πρόξενος. καὶ ὅταν ἐν ὅλοις ὑπὸ σοῦ μερι-
μνώμεθα, μεθ' ἡμῶν σε διάγειν πιστοφορούμεθα. ὃν τρόπον



γὰρ ὁ διψῶν πρὸς τὴν πηγὴν κατασπεύδει, οὕτω καὶ πᾶσα
ψυχὴ πιστοτάτη πρὸς σὲ κατατρέχει, ἐμπλησθῆναι τῆς σῆς
φλεγομένη βοηθείας. καὶ πάλιν ὥσπερ τὸ τοῦ ἀέρος ἄσθμα
ζωτικὴν τοῖς ἀνθρώποις ἐμπνέει τὴν ὄσφρησιν, οὕτω καὶ σὲ
παντὸς ὀρθοδόξου Χριστιανοῦ ἐπὶ στόματος προφέρει πνοή.
οὐ δὲ γὰρ τοσοῦτον τῆς τοῦ ἀέρος ἀνιμώμεθα ψυχαγωγίας,
ὅσον τῆς τοῦ ὀνόματός σου ἀρυόμεθα σκέπης, ὡς ἐν Χριστῷ
καὶ ἐν σοὶ τὸ γεγραμμένον πληροῦσθαι. ἀναπνοὴ φησὶ μυ-
κτήρων ἡμῶν σὺ εἶ. ἐν τῇ σκέπῃ σου καὶ πνοῇ ζήσωμεν.
ποῖον γὰρ γένος ἀνθρώπων, πάρεξ εἰπεῖν χριστιανῶν, τοιαύ-
της ἐπέτυχε δόξης, τοιαύτης ηὐπόρησεν ὑπολήψεως; Ἄγγε-
λοι. ταῖς οὐρανίαις ἐγγαυριοῦνται καταμοναῖς, ἡμεῖς τοῖς τῶν
ἁγιοβάτων σου Ναῶν εὐφραινόμεθα σχολασμοῖς. εἰ γὰρ ὁ Σο-
λομώντιος Ναὸς πάλαι τὸν Οὐρανὸν ἐπὶ τῆς γῆς ἐσκιαγρά-
φει, πόσῳ μᾶλλον ἐμψύχου σου Ναοῦ γεγονυίας τοῦ Χριστοῦ,
μὴ καὶ τὰς ἐκκλησίας ὡς ἐπιγείους Οὐρανοὺς δικαίως ἐςὶν
ἀνακομπάζειν; ἀστέρες λαμπηδογλωσσοῦσιν ἐν τῷ στερεώ-
ματι τοῦ Οὐρανοῦ, αἱ σωματικαί σου τῶν εἰκόνων, Θεομήτωρ,
χρωματουργίαι, τὴν ἐπίδοσιν τῶν σῶν ἡμῖν ἀναστράπτουσι
δωρεῶν. Ἥλιος καὶ Σελήνη τὸν ἕνα τοῦ κυκλώματος δα-
δουχοῦσι πόλον. πᾶς οἶκος καὶ πᾶσα πόλις καὶ χώρα τὸ σὸν
ἐκ τοῦ σοῦ γεννηθέντος φωτὸς ἀγλαΐζεται φῶς. διὰ τοῦτο,
μακάριος κἂν ἁμαρτωλὸς ὁ ἄνθρωπος, ὅτι περ συγγενὴς σε
κατ' οὐσίαν κτισάμενος εὑρέθη, καὶ θείας φύσεως διὰ σοῦ
κοινωνός. μακάριος ἀληθῶς, καὶ καλῶς αὐτῷ γέγονε, μᾶλ-
λον δὲ καὶ ἔσται καλῶς. οὐ διαλείψει γὰρ τοῖς τὴν σὴν
ἀντίληψιν ἕως τέλους ἔχειν ἀξιουμένοις. ἐρρέτω θάνατος ἐπὶ
σοὶ Θεοτόκε, ὅτι ζωὴν τοῖς ἀνθρώποις προσήγαγες. ἐρρέτω
τάφος ἐπὶ σοὶ, ἐπειδή περ ὕψους ἀκαταχράστου θεῖος ἐγένου
θεμέλιος. ἐρρέτω χοῦς ἐπὶ σοὶ, ἀνάπλασις γὰρ εἶ, ὅτι τοῖς
ἐν ὕλῃ πηλοῦ διαφθαρεῖσι κεχρημάτικας Δέσποινα. οὐκοῦν

σε μεθ' ἡμῶν συναναστρόφον ἔχειν ὁμολογοῦμεν. εἰ
πίστει σε μεθ' ἡμῶν συναναστρόφον ἔχειν ὁμολογοῦμεν. εἰ
μὴ γὰρ ἐν τούτῳ παρηγορούμεθα, ἐξέλιπεν ἐν τῇ ἐπιθυμίᾳ
τῇ πρὸς σὲ τὸ ἡμέτερον πνεῦμα. καὶ πίστει τοὺς οὐρανοὺς,
ὡς γέγραπται, κατηρτίσθαι νοοῦμεν· οὕτω καὶ σὲ μετελθοῦ-
σαν, συνδιάγωγον καὶ μετὰ τὴν ἐκδημίαν τοῦ σώματος πι-
στεύομεν ἀναθεωρεῖν· οὐ γὰρ ὀδύνη τοσαύτη τῇ ψυχῇ τῆς
σαρκὸς, ὅταν ἀποσπασθῇ, ὅσον ὀδυνηρὸν σοῦ στερηθῆναι, Πα-
νάχραντε· ὅθεν κατὰ τὸ γεγραμμένον, κἂν τὸ σῶμά σου κα-
θεύδῃ, ἡ καρδία σου ἀγρυπνεῖ. καὶ κἂν τὸ ἀπαραίτητον τοῦ
θανάτου παρεδέξω φύσει, οὐ νυστάζει, οὐδὲ ὑπνώσσει ὁ φυ-
λάσσων ἡμᾶς ὀφθαλμός σου· οὐκ ἀμάρτυρος γὰρ ἡ μετάστα-
σίς σου, οὐδὲ ψευδὴς ἡ Κοίμησις. ὁ Οὐρανὸς τῶν ἐπὶ σοὶ τότε
συνδραμόντων διηγεῖται δόξαν. ἡ γῆ τὴν περὶ αὐτῶν παρί-
στησιν ἀλήθειαν. αἱ νεφέλαι τὴν ἐξ αὐτῶν σοι διακομισθεῖ-
σαν βοῶσι τιμὴν, καὶ Ἄγγελοι τὴν εἰς σὲ τότε γενομένην
ἀπαγγέλλουσι δορυφορίαν. τὸ πῶς, φημὶ, κατὰ τὴν Ἱερουσα-
λὴμ οἱ Ἀπόστολοι παρεγένοντο πρὸς σὲ, καθάπερ καὶ Ἀβ-
βακοὺμ ὁ Προφήτης ἐκ μερῶν τῆς ὀρεινῆς ἐν ὥρᾳ μιᾷ διὰ
νεφέλης ἁρπαγεὶς, καὶ Ἀγγελικῆς δεξιᾶς ὑποληφθεὶς ἐν
τῇ Περσικῇ Βαβυλῶνι εἰς τὸν λάκκον τοῦ Δανιὴλ παρέστη.
ἀλλ' ὥσπερ ῥανὶς εἰς θάλασσαν ἐπιχεομένη οὐδὲν προστίθη-
σιν, οὐδὲ βαλάντιον πτωχοῦ πλουσίου θησαυρὸν ἀποκενοῖ.
οὕτως οὐδὲ τὰ ὕψη σου τῶν ἐγκωμίων ἱκανός τις ἐν λόγων
κατευμεγεθῆσαι φωναῖς. ἔχεις σὺ παρ' ἑαυτῆς τὸν ἴδιον ὕμνον,
ὅτι περ Θεοτόκος ἀνεδείχθης. οὐδὲ γὰρ ὅτι τοῖς ὠσὶν ἡμῶν
παρὰ γραφικῆς ἐξηγήσεως τοῦτο καὶ μόνον ἠκούσθη, οὐδὲ
πάλιν ὅτι περ οἱ Πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν τοῦτο παν-
αληθευούσῃ διηγήσει, τὴν προσηγορίαν ἐκληρώσω τῆς Θεο-
τόκου, ἀλλ' ὅτι τὸ ἔργον, ὃ εἰργάσω ἐν ἡμῖν, κυρίως καὶ ἀ-
ψευδῶς Θεοτόκον σε δι' αὐτῶν βεβαιοῖ τῶν πραγμάτων. καὶ
τούτου χάριν τὸ θεοδόχον σου Σῶμα παρὰ νεκροποιοῦ κατα-



φθορᾶς, ἔπρεπεν ὄντως μὴ συγκλεισθῆναι, ἀλλὰ καὶ τὸν τά-
φον ὡς ἀνθρώπινον ὑποδέξασθαι τὸ ἴδιον φύραμα, καὶ σοῦ
ζωοτελῶς πρὸς τὰ οὐράνια τῆς οἰκείας μεταστάσης ζωῆς.
κενὸν μὲν αὐτὸν δειχθῆναι τῆς σαρκός σου, ἀχώριστον δὲ τῆς
τῶν ἀνθρώπων συναναστροφῆς εὑρεθῆναι τὸ Πνεῦμά σου, ἀο-
ράτῳ ἐνεργείᾳ τοῦ ὑπὸ σοῦ παρθενικῶς γεννηθέντος Χριστοῦ
τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ΤΕΛΟΣ.

ΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ